eul_wid: bli-ab

Ἑκαταῖος ὁ Μιλήσιος · Hecataeus of Miletus the Historian

# Historical Fragments of Hecataeus

Ἀποσπάσματα Ἑκαταίου

**Period:** Ἀρχαϊκή Archaic
**Dialect:** Ἰωνική Ionic
**Domain:** Ἱστορία History
**Format:** Συναγωγή Collection

1a,1,F 1a DEMETR. DE ELOC. 12 (GREGOR. CORINTH. VII 1215, 26 W): « Ἑκαταῖος Μιλήσιος ὧδε μυθεῖται · τάδε γράφ ω , ὥς μοι δοκεῖ ἀληθέα εἶναι · οἱ γὰρ Ἑλλήνων λόγοι πολλοί τε καὶ γελοῖο ι , ὡς ἐμοὶ φαίνοντα ι , εἰσί ν » s. T 19.

1a,1,F 1b ebd. 2: βούλεται μέντοι διάνοιαν ἀπαρτίζειν τὰ κῶλα ταῦτα, ποτὲ μὲν ὅλην διάνοιαν, οἷον ὡς Ἑκαταῖός φησιν ἐν τῆι ἀρχῆι τῆς ἱστορίας· « Ἑκαταῖος Μιλήσιος ὧδε μυθεῖτα ι. »

1a,1,F 1c Dio Prus. or. LIII 9 (II 112 v. Arnim): ἔτι δὲ τὸ μηδαμοῦ γεγραφέναι τὸ αὑτοῦ ὄνομα ... καίτοι τῶν ἄλλων ἁπάντων, ὁπόσοι τινὰ ἔδοξαν ἔχειν δύναμιν ἢ περὶ ποίησιν ἢ καταλογάδην συγγράφοντες, καὶ πρῶτον καὶ τελευταῖον τὸ ἑαυτῶν ὄνομα γραφόντων, πολλῶν δὲ καὶ ἐν αὐτοῖς τοῖς λόγοις τε καὶ ποιήμασιν, (10) ὥσπερ Ἑκαταῖός τε καὶ Ἡρόδοτος καὶ Θουκυδίδης ...

1a,1,F 2 SCHOL. APOLL. RHOD. I 551 ἔργον Ἀθηναίης Ἰτωνίδος] Ἰτωνίας Ἀθηνᾶς ἐστιν ἱερὸν ἐν Κορωνείαι τῆς Βοιωτίας. ὁ μέντοι Ἀπολλώνιος οὐκ ἂν λέγοι τὴν Ἀθηνᾶν ἐπὶ κατασκευῆι τῆς Ἀργοῦς ἀπὸ τῆς ἐν Κορωνείαι ἐπικλήσεως, μᾶλλον δὲ ἀπὸ Θεσσαλικῆς Ἰτωνία ς , περὶ ἧς Ἑκαταῖος μὲν ἐν τῆι πρώτηι τῶν Ἱστοριῶν λέγε ι . Ἀρμενίδας δὲ ἐν τοῖς Θηβαικοῖς (III) Ἀμφικτύονος υἱὸν Ἴτωνον ἐν Θεσσαλίαι γεννηθῆναι· καὶ Ἀλέξανδρος (III) ἐν τῶι α τῶν Κορίννης Ὑπομνημάτων.

1a,1,F 3 STEPH. BYZ. s. Ἀμφαναί· πόλις Δωρική. Ἑκαταῖος ἐν α Γενεαλογιῶν. Θεόπομπος (II) Ἀμφαναίαν αὐτὴν καλεῖ ἐν ε Φιλιππικῶν. ἔστι καὶ χωρίον Θετταλίας ὡσαύτως.

1a,1,F 4 —s. Οἴνη· πόλις Ἄργους. Ἑκαταῖος Ἱστοριῶν α . τὸ ἐθνικὸν Οἰναῖος Οἰναία Οἰναῖον. Ὧρος δὲ Οἰνώην αὐτήν φησιν, ἧς τὸ ἐθνικὸν Οἰνωάτης καὶ θηλυκὸν Οἰνωᾶτις Ἄρτεμις (Eurip. Herakl. 379), ἡ ἐν Οἰνώηι τῆς Ἀργείας ἱδρυμένη ὑπὸ Προίτου.

1a,1,F 5 —s. Φάλαννα· πόλις Περραιβίας, ἀπὸ Φαλάννης τῆς Τυροῦς θυγατρός. Λυκόφρων (Al. 906)· ‘Γόννον Φάλανναν ἠδ’ Ὀλοσσόνων γύασ‘. Ἑκαταῖος Ἱστοριῶν α Ἱππίαν αὐτὴν καλεῖ. καὶ Ἔφορος (II) Φάλαννον αὐτὴν καλεῖ ἐν τῶι θ .

1a,1,F 6 STEPH BYZ. s. Ψωφίς· πόλις Ἀρκαδίας. κέκληται ἀπὸ Ψώφιδος τοῦ Λυκάονος, ὑφ’ οὗ φασι τὸ παλαιὸν ἐκτίσθαι αὐτήν· ἢ ἀπὸ Ψωφίδος τῆς Ἔρυκος θυγατρός. ἔστι καὶ ἑτέρα πόλις Ψωφὶς Ἀκαρνανίας, ἡ παλαιὰ λεγομένη. ἔστι καὶ τρίτη τῆς Ἀχαίας. ὁ πολίτης ὤφειλεν εἶναι Ψωφίτης ... ἀλλὰ γέγονεν ἀπὸ τῆς γενικῆς, ὡς τῆς Ἀρκάδος Ἀρκάδιος καὶ τῆς Αὐλίδος

Αὐλίδιος, οὕτω Ψωφίδος Ψωφίδιος. Ἑκαταῖος Γενεαλογιῶνβ · « κάπρος ἦν ἐν τῶι ὄρει καὶ Ψωφιδίους κακὰ πόλ λ ’ ἔοργε ν».

1a,1,F 6bis,a NATAL. COM. Mythol. 9, 9 (p. 981 f. ed. Genev. a. 1651): sed antequam in lupum verteretur ex uxore Atlantis filia et ex aliis nonnullis multos filios suscepit, quorum haec sunt nomina .... nam cum Apollodorus (Bibl. 3, 96 ff.) quinquaginta fuisse inquit, ego tamen multo plures fuisse apud varios scriptores invenio: quippe cum Callisto etiam ... et Dia ... filiae fuisse Lycaonis memorantur. Hecataeus Milesius libro secundo Genealogiarum longe aliam tradidit rationem cur Lycaon et eius filii fuerint in lupos conversi, quam explicavit postea Ovidius (Met. 1, 163 ff.; [2, 401 ff.]). sic enim inquit: «Πελασγὸς ἦν παῖς Διὸς καὶ Νιόβης, ὧι παῖς ἦν Λυκάων ἐκ Μελιβοίης κόρης, εἶτ’ οὖν Κυλλήνης, ὥς φασιν. οὗτος ἔπειτα βασιλεὺς τῶν Ἀρκάδων καταστὰς κατὰ χρησμόν τινα ἐκ πολλῶν γάμων πολλοὺς παῖδας λαβών, αὐτὸς ὢν ἀσεβὴς ἀσεβεῖς καὶ τοὺς παῖδας προσέλαβε, ὧν Μαίναλος, Θεσπρωτὸς σὺν Νυκτίμωι καὶ Καύκωνι, Λύκος, Φθίος τε καὶ Τηλεβόας, Αἵμων, Μαντίνους, Στύμφηλος, Κλείτωρ, Ὀρχομενός τε καὶ ἄλλοι, οἳ πάντες ἀσεβείαι καὶ ὑπερηφανίαι ἐνίκων. ὁ δὲ Ζεὺς χερνήτηι εἰκασθεὶς παραγίνεται αὐτοῖς, ὃν αὐτοὶ καλέσαντες ἐπὶ ξένια ἕνα τῶν ἐγχωρίων παιδάριον σφάττουσι, καὶ τὰ σπλάγχνα συμμίξαντες παρέθεντο τῆι τραπέζηι. τοῦτο δὲ Ζεὺς ἐγνωκὼς καὶ μυσαχθεὶς τὴν μὲν τράπεζαν ἀνέτρεψεν, ὅθεν ἐκεῖνος ὁ τόπος Τραπεζεὺς ἐν Ἀρκαδίαι καὶ Τραπεζοῦς ἡ πόλις καλεῖται, τῶν δὲ Λυκάονος παίδων ὡς ἀσεβησάντων εἰς ξένον μετ’ αὐτοῦ Λυκάονος τοὺς μὲν εἰς λύκους ἔτρεψε, τοὺς δὲ ἐκεραύνωσε».

1a,1,F 6bis,b ——(p. 983): id scribat Pausanias in Arcadicis, miratus sum cur dicat (8, 3, 6/7) unicam tantum filiam fuisse Lycaoni inter tot mares, quam etiam inquit in gratiam Iunonis fuisse sagittis transfixam, cum Dia etiam Dryopis mater filia eius fuerit, ut scripsit Hecataeus.

1a,1,F 7a —s. Χαδισία· πόλις Λευκοσύρων. Ἑκαταῖος Γενεαλογιῶν β « ἡ δὲ Θεμισκύρη πεδίον ἐστὶν ἀπὸ Χαδισίης μέχρι Θερμώδοντο ς».

1a,1,F 7b SCHOL. APOLL. RHOD. II 999 Λυκάστιαι] 〈Λύκαστοσ〉 χωρίον τῆς Λευκοσυρίας, ἀφ’ οὗ Λυκαστίας εἶπε τὰς Ἀμαζόνας. Χαδησίας δὲ αὐτὰς εἶπεν Ἑκαταῖος ἀπὸ τοῦ χαδῆσαι.

1a,1,F 8 HARPOKR. s. ἀδελφίζειν (ETYM. COD. PARIS. 2669; Cram. An. Par. IV 94, 31. ΣΥΝΑΓ. ΛΕΞ. ΧΡΗΣ. 341, 23 Bk.) ἀντὶ τοῦ ἀδελφὸν καλεῖν παρ’ Ἰσοκράτει ἐν Αἰγινητικῶι (XIX 30) καὶ Ἑκαταίωι τῶι Μιλησίωι ἐν β Ἡρωολογίας καὶ Στράττιδι (I 798, 4 K.) ἢ Ἀπολλωφάνει ἐν Ἰφιγέροντι.

1a,1,F 9 ATHENAI. IV 148 F: Ἀρκαδικὸν δὲ δεῖπνον διαγράφων ὁ Μιλήσιος Ἑκαταῖος ἐν τῆι τρίτηι τῶν Γενεαλογιῶν «μάζας» φησὶν εἶναι καὶ «ὕεα κρέα».

1a,1,F 10 STEPH. BYZ. s. Τρεμίλη. ἡ Λυκία ἐκαλεῖτο οὕτως, ἀπὸ Τρεμίλου ὡς Πανύασις (F 18 Ki)· ‘ἔνθα δ’ ἔναιε μέγας Τρεμίλης καὶ ἔγημε θύγατρα / νύμφην Ὠγυγίην, ἣν Πραξιδίκην καλέουσι / Σίβρωι ἐπ’ ἀργυρέωι ποταμῶι παρὰ δινήεντι· / τῆς δ’ ὀλοοὶ παῖδες Τλῶος Ξάνθος Πίναρός τε / καὶ Κράγος, ὃς κρατέων πάσας ληίζετ’ ἀρούρασ‘. οἱ κατοικοῦντες Τρεμιλεῖς. Ἀλέξανδρος (III) δευτέρωι· ‘τελευτήσας [τὰς] δὲ τοὺς Τρεμιλέας Λυκίους Βελλεροφόντης μετωνόμασεν‘. Ἑκαταῖος Τρεμίλας αὐτοὺς καλεῖ ἐν δ Γενεαλογιῶν.

1a,1,F 11 —s. Μελία· πόλις Καρίας. Ἑκαταῖος Γενεαλογιῶν δ . τὸ ἐθνικὸν Μελιεύς.

1a,1,F 12 —s. Μύγισσοι· πόλις Καρίας. Ἑκαταῖος δ Γενεαλογιῶν. τὸ ἐθνικὸν Μυγίσσιος καὶ Μυγισσία Ἀθηνᾶ καὶ Μυσιγαίς.

1a,1,F 12bis SCHOL. PLUTARCH. (COD. AMBROS. 859) De cap. ex inim. util. 10 p. 91 E: ἐκ τοῦ ζ τῶν Λουπέρκου (no. 636). τὰ παιδία τοὺς κορυδοὺς διώκουσι· Πλάτων Εὐθυδήμωι (291 B)· Ἀριστοφάνης (Av. 472 ff.) θηλυκῶς «τῆς κορυδοῦ» καὶ «κορυδὸν πρώτην» ὀρνίθων. κορυδαλλὸς καὶ κορυδαλλή· Ἀριστοτέλης θ Ζωικῶν (617b 20 ff.) ....· Ἑκαταῖος δ (? )

Eulogikon public reading copy · View original HTML at eulogikon.org

« κορυδαλλῆς νεοττία ν». Σιμωνίδης ἐν Κατευχαῖς (F 3 Diehl) «χρὴ κορυδαλλαῖς πάσαις ἐμφῦναι λόφον».

1a,1,F 13 SCHOL. THUKYD. I 3, 2: Ἑκαταῖος ἱστορεῖ, ὅτι Δευκαλίων τρεῖς παῖδας ἔσχε, Πρόνοον, Ὀρεσθέα καὶ Μαραθώνιον. Προνόου δὲ τὸν Ἕλληνά φησι γενέσθαι.

1a,1,F 14 SCHOL. APOLL. RHOD. IV 266 οὐδὲ Πελασγὶς χθὼν τότε κυδαλίμοισιν ἀνάσσετο Δευκαλίδηισιν] οἱ ἀπὸ Δευκαλίωνος τὸ γένος ἔχοντες ἐβασίλευον Θεσσαλίας, ὥς φησιν Ἑκαταῖος καὶ Ἡσίοδος (F 8 R ). ἡ Θεσσαλία δὲ Πελασγία ἐκαλεῖτο ἀπὸ Πελασγοῦ τοῦ βασιλεύσαντος.

1a,1,F 15 ATHENAI. II 35 AB: Ἑκαταῖος δ’ ὁ Μιλήσιος τὴν ἄμπελον ἐν Αἰτωλίαι λέγων εὑρεθῆναί φησι καὶ τάδε· « Ὀρεσθεὺς ὁ Δευκαλίωνος ἦλθεν εἰς Αἰτωλίαν ἐπὶ βασιλεία ι , καὶ κύων αὐτοῦ στέλεχος ἔτεκ ε , καὶ ὃς ἐκέλευσεν αὐτὸ κατορυχθῆνα ι , καὶ ἐξ αὐτοῦ ἔφυ ἄμπελος πολυστάφυλος · διὸ καὶ τὸν αὑτοῦ παῖδα Φύτιον ἐκάλεσ ε . τούτου δ ’ Οἰνεὺς ἐγένετ ο , κληθεὶς ἀπὸ τῶν ἀμπέλων ( οἱ γὰρ παλαιο ί , φησι ν , Ἕλληνες οἴνας ἐκάλουν τὰς ἀμπέλου ς) · Οἰνέως δ ’ ἐγένετο Αἰτωλό ς. »

1a,1,F 16 HERODIAN. π. μον. λεξ. 41, 24 (II 947, 8 Lentz): οὐδένα τῶν εἰς κος ληγόντων δισύλλαβα ὀξύνεσθαι θέλει· Κέσκος, Φύσκος— Ἑκαταῖος· « Ἴων δὲ πρεσβύτερος Λοκροῦ ἦ ν , Φύσκου παῖ σ » — Ζύσκος, ποταμὸς Μακεδονίας, ὡς Ἀντιγένης (II) φησί.

1a,1,F 17 SCHOL. APOLL. RHOD. I 256 ὡς ὄφελεν καὶ Φρίξον, ὅτ’ ὤλετο παρθένος Ἕλλη, κῦμα μέλαν κριῶι ἅμ’ ἐπικλύσαι· ἀλλὰ καὶ αὐτὴν ἀνδρομένην προέηκε κακὸν τέρας] λέγεται γὰρ ὅτι τῆς Ἕλλης καταπεσούσης ἀγωνιῶντι τῶι Φρίξωι κατὰ Διὸς βούλησιν ἐφθέγξατο θαρσύνων αὐτὸν ὁ κριός, διασώζειν αὐτὸν εἰς τὴν Σκυθίαν. τοῦτο δὲ αὐτῆι τῆι Ἀλκιμέδηι ἔμελλε κακὸν γενέσθαι, τοῦ υἱοῦ ἐκεῖσε στελλομένου. ἡ δὲ ἱστορία κεῖται παρὰ Ἑκαταίωι ὅτι ὁ κριὸς ἐλάλησε ν . ἔνιοι δέ φασιν αὐτὸν ἐπὶ κριοπρώρου σκάφους πλεῦσαι. Διονύσιος δὲ ἐν β (32 F 2) Κριόν φησι Φρίξου τροφέα γενέσθαι καὶ συμπεπλευκέναι αὐτῶι εἰς Κόλχους. διὸ καὶ μεμύθευται τὰ περὶ τῆς τοῦ κριοῦ θυσίας αὐτόθι.

1a,1,F 18a —IV 259 ἔστιν γὰρ πλόος ἄλλος, ὃν ἀθανάτων ἱερῆες πέφραδον, οἳ Θήβης Τριτωνίδος ἐκγεγάασιν] Ἡρόδωρος ἐν τοῖς Ἀργοναύταις (31 F 10) φησὶ διὰ τῆς αὐτῆς ἐπανελθεῖν θαλάσσης, δι’ ἧς ἦλθον εἰς Κόλχους. Ἑκαταῖος δὲ ὁ Μιλήσιος ἐκ τοῦ Φάσιδος διελθεῖν εἰς τὸν Ὠκεανό ν , εἶτα ἐκεῖθεν εἰς τὸν Νεῖλο ν , ὅθεν εἰς τὴν ἡμετέραν θάλασσα ν. τοῦτο δ’ ὁ Ἐφέσιος Ἀρτεμίδωρος (V) Ψεῦδός φησιν εἶναι· τὸν γὰρ Φᾶσιν μὴ συμβάλλειν τῶι Ὠκεανῶι, ἀλλ’ ἐξ ὀρέων καταφέρεσθαι. τὸ αὐτὸ καὶ Ἐρατοσθένης ἐν γ Γεωγραφικῶν (V) φησι. Τιμάγητος δὲ ἐν α Περὶ λιμένων (V) τὸν μὲν Φᾶσιν ** 〈τὸν δὲ Ἴστρον〉 καταφέρεσθαι ἐκ τῶν Ῥιπαίων ὀρῶν, ἅ ἐστι τῆς Κελτικῆς, εἶτα ἐκδιδόναι εἰς Κελτῶν λίμνην, μετὰ δὲ ταῦτα εἰς δύο σχίζεσθαι τὸ ὕδωρ, καὶ τὸ μὲν εἰς τὸν Εὔξεινον πόντον εἰσβάλλειν, τὸ δὲ εἰς τὴν Κελτικὴν θάλασσαν· διὰ δὲ τούτου τοῦ στόματος πλεῦσαι τοὺς Ἀργοναύτας· καὶ ἐλθεῖν εἰς Τυρρηνίαν. κατακολουθεῖ δὲ αὐτῶι καὶ Ἀπολλώνιος. Ἡσίοδος (F 64 Rz 2 ) δὲ καὶ Πίνδαρος ἐν Πυθιονίκαις (IV 25f. 251) καὶ Ἀντίμαχος ἐν Λύδηι διὰ τοῦ Ὠκεανοῦ φασιν ἐλθεῖν αὐτοὺς εἰς Λιβύην καὶ βαστάσαντας τὴν Ἀργὼ εἰς τὸ ἡμέτερον πέλαγος γενέσθαι.

1a,1,F 18b —284: τὸν Ἴστρον φησὶν (Apollonios) ἐκ τῶν Ὑπερβορέων καταφέρεσθαι καὶ τῶν Ῥιπαίων ὀρῶν (οὕτω δὲ εἶπεν ἀκολουθῶν Αἰσχύλωι ἐν Λυομένωι Προμηθεῖ [F 197 N 2 ] λέγοντι τοῦτο), γενόμενον δὲ μεταξὺ Σκυθῶν καὶ Θραικῶν σχίζεσθαι, καὶ τὸ μὲν εἰς τὴν καθ’ ἡμᾶς θάλασσαν ἐκβάλλειν ῥεῖθρον, τὸ δὲ εἰς τὴν Ποντικὴν θάλασσαν ἐκπίπτειν [τὸ δὲ εἰς τὸν Ἀδριατικὸν κόλπον]. Σκύμνος (V) δὲ ἐν τῆι ις (?) περὶ Εὐρώπης αὐτὸν μόνον φησιν ἀπὸ ἐρήμων φέρεσθαι τὸν Ἴστρον. Ῥιπαῖα δὲ ὄρη πρὸς ταῖς ἀντολαῖς, ὡς Καλλίμαχος (F 215 Schn)· ‘‘Ῥιπαίου πέμπουσιν ἀπ’ οὔρεος, ἧχι μάλιστα‘. Ἐρατοσθένης δὲ ἐν τρίτωι Γεωγραφικῶν ἐξ ἐρήμων τόπων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ῥεῖν, περιβάλλειν δὲ νῆσον Πεύκην. οὐδεὶς δὲ ἱστορεῖ διὰ τούτων τοὺς Ἀργοναύτας εἰσπεπλευκέναι εἰς τὴν ἡμετέραν θάλασσαν ἔξω Τιμαγήτου, ὧι ἠκολούθησεν Ἀπολλώνιος. ὁ μὲν γὰρ Σκύμνος αὐτοὺς διὰ Τανάιδος πεπλευκέναι ἐπὶ τὴν μεγάλην θάλασσαν, ἐκεῖθεν δὲ εἰς τὴν ἡμετέραν θάλασσαν ἐληλυθέναι. καὶ παρεκβολεύεται ὡς ἄρα ἐλθόντες ἐπὶ τὴν ἤπειρον οἱ Ἀργοναῦται ἐπὶ στρωτήρων ἐκόμισαν τὴν Ἀργώ, μέχρις οὗ ἐπὶ θάλασσαν παρεγένοντο. Ἡσίοδος (F 63) δὲ διὰ Φάσιδος αὐτοὺς εἰσπεπλευκέναι λέγει. Ἑκαταῖος δὲ 〈 ** Ἀρτεμίδωρος δὲ〉 ἐλέγχων αὐτὸν ἱστορεῖ μὴ ἐκδιδόναι εἰς τὴν θάλασσαν τὸν Φᾶσιν. οὐδὲ διὰ Τανάιδος ἔπλευσαν, ἀλλὰ κατὰ τὸν αὐτὸν πλοῦν καθ’ ὃν καὶ πρότερον, ὡς Σοφοκλῆς ἐν Σκύθαις (F 504 N 2 ) ἱστορεῖ. καὶ Καλλίμαχος ** αὐτῶν τοὺς μὲν εἰς τὸν Ἀδρίαν πεπλευκότας μὴ εὑρεῖν τοὺς Ἀργοναύτας, τοὺς δὲ διὰ τῶν Κυανέων πετρῶν ἐπὶ τὴν Κέρκυραν, ἔνθα κἀκεῖνοι τότε ἦσαν. ὁ δὲ Ἴστρος καταφερόμενος ἐξ Ὑπερβορέων, ὅταν φθάσηι ἐπὶ τὸν μεταξὺ Σκυθίας καὶ Θράικης τόπον, σχίζεται εἰς δύο, καὶ τὸ μὲν αὐτοῦ εἰς τὸν Εὔξεινον πόντον βάλλει. τὸ δὲ ἕτερον εἰς τὴν Τυρρηνικὴν θάλασσαν.

1a,1,F 19 SCHOL. EURIP. Or. 872 ἄκραν, οὗ φασι πρῶτον Δαναὸν Αἰγύπτωι δίκας διδόντα ...] ἡ πολλὴ δόξα κατέχει μὴ ἀφῖχθαι τὸν Αἴγυπτον εἰς Ἄργος, καθάπερ ἄλλοι τέ φασι καὶ Ἑκαταῖος γράφων οὕτως· « ὁ δὲ Αἴγυπτος αὐτὸς μὲν οὐκ ἦλθεν εἰς Ἄργο ς , παῖδες δ έ , 〈ἐόντεσ〉 , ὡς μὲν Ἡσίοδος ( F 2 5 ) ἐποίησ ε , πεντήκοντ α , ὡς ἐγὼ δ έ , οὐδὲ εἴκοσ ι». καὶ Διονύσιος ὁ κυκλογράφος (15 F 6) ἐν τούτωι τὰ παραπλήσιά φησι. Φρύνιχος δὲ ὁ τραγικός φησιν ἐν Αἰγυπτίοις (p. 720 N 2 ) τὸν Αἴγυπτον ἥκειν εἰς Ἄργος.

1a,1,F 20 SCHOL. DIONYS. THRAC. [Gr. Gr. III] p. 183, 1 Hilgard: τῶν στοιχείων εὑρετὴν ἄλλοι τε καὶ Ἔφορος ἐν δευτέρωι (II) Κάδμον φασίν· οἱ δὲ οὐχ εὑρετήν, τῆς δὲ Φοινίκων εὑρέσεως πρὸς ἡμᾶς διάκτορον γεγενῆσθαι, ὡς καὶ Ἡρόδοτος ἐν ταῖς Ἱστορίαις (V 58) καὶ Ἀριστοτέλης (F 501 Rose) ἱστορεῖ. φασὶ γὰρ ὅτι Φοίνικες μὲν εὗρον τὰ στοιχεῖα, Κάδμος δὲ ἤγαγεν αὐτὰ εἰς τὴν Ἑλλάδα. Πυθόδωρος (IV) δὲ [ὡς] ἐν τῶι Περὶ στοιχείων καὶ Φίλλις ὁ Δήλιος (II) ἐν τῶι Περὶ Χρόνων πρὸ Κάδμου Δαναὸν μετακομίσαι αὐτά φασιν. ἐπιμαρτυροῦσι τούτοις καὶ οἱ Μιλησιακοὶ συγγραφεῖς Ἀναξίμανδρος (9 F 3) καὶ Διονύσιος (III) καὶ Ἑκαταῖος, οὓς καὶ Ἀπολλόδωρος ἐν Νεῶν καταλόγωι (II) παρατίθεται. ἔνιοι δὲ Μουσαῖον εὑρετὴν λέγουσι τὸν Μητίονος καὶ Στερόπης κατ’ Ὀρφέα γενόμενον· Ἀντικλείδης δ’ ὁ Ἀθηναῖος (II) Αἰγυπτίοις τὴν εὕρεσιν ἀνατίθησι· Δωσιάδης (III) δὲ ἐν Κρήτηι φησὶν εὑρεθῆναι αὐτά· Αἰσχύλος δὲ Προμηθέα φησὶν εὑρηκέναι ἐν τῶι ὁμωνύμωι δράματι (460)· Στησίχορος δὲ ἐν δευτέρωι Ὀρεστείας (F 34) καὶ Εὐριπίδης (F 578 N 2 ) τὸν Παλαμήδην φησὶν εὑρηκέναι· Μνασέας (V) δὲ Ἑρμῆν· ἄλλοι δὲ ἄλλον.

1a,1,F 21 HERODIAN. π. μον. λέξ. 7, 32 (II 912, 23 L): οὐδὲν εἰς να λῆγον ὑπὲρ μίαν συλλαβὴν θηλυκὸν περισπᾶται, ἀλλὰ μόνον τὸ Ἀθηνᾶ ... εἰ δέ τις λέγοι καὶ ἡ Δανᾶ οὕτως εἴρηται παρ’ Ἑκαταίωι—« τῆι Δανᾶι μίσγεται Ζεύ σ » —, ἴστω ὅτι τοῦτο παρ’ Ἑκαταίωι ἐστὶ καὶ ἐν τῆι χρήσει τῶν Φοινίκων, ὡς αὐτός φησι, οὐκ ἔτι μέντοι Ἀττικοῖς καὶ τῆι συνηθείαι γνωστόν ... προσέθηκα δὲ ὑπὲρ μίαν συλλαβήν, ἵνα ἐκφύγωμεν τὸ σύνηθες τὸ μνᾶ ... καὶ ἀπεξενωμένον τὸ Χνᾶ· οὕτω γὰρ πρότερον ἡ Φοινίκη ἐκαλεῖτο (F 272).

1a,1,F 22 SCHOL. HOMER. A Il. O 302: ... μύκητά τε καὶ μύκην, εἰ καὶ πολλὰ σημαίνει ἡ λέξις. καὶ ὅτι οὐ τὸ μέτρον αἴτιόν ἐστι, δῆλός ἐστιν Ἑκαταῖος οὕτως κλίνας. φησὶ γάρ· « καὶ ἐπαφήσας τὸν κολεὸν τοῦ ξίφεος τὸν μύκην εὗρεν ἀποπεπτωκότ α » ὁ δὲ Ἄρατος (976) περιττοσυλλάβως ἔκλινεν ‘ἢ λύχνοιο μύκητες ἀγείρονται περὶ μοῖραν‘.

1a,1,F 23 EPIMER. HOM. Λ (Cram. An. Ox. I 265, 6): τὸ λαός ἄτρεπτος ἔμεινε παρ’ Ὁμήρωι, καίτοι τῆι μεταγενεστέραι Ἰάδι τραπέν· ‘ληὸν ἀθρήσασ‘ Ἱππῶναξ (F 88). σημειωτέον δέ, ὅτι οὐχ ἁπλῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸν ὄχλον σημαίνει, ἀλλὰ τὸν ὑποτεταγμένον. Ἑκαταῖος γὰρ τὸν Ἡρακλέα τοῦ « Εὐρυσθέως λεώ ν » λέγει, καίτοι ἕνα ὄντα.

1a,1,F 24 AELIAN. HA IX 23: τὴν μὲν ὕδραν τὴν Λερναίαν τὸν ἆθλον τὸν Ἡράκλειον ἀιδέτωσαν ποιηταὶ καὶ μύθων ἀρχαίων συνθέται, ὧνπερ οὖν καὶ Ἑκαταῖος ὁ λογοποιός ἐστιν. ἀιδέτω δὲ καὶ Ὅμηρος Χιμαίρας φύσιν ... καὶ ταῦτα μὲν ἔοικεν ἐς τοὺς μύθους ἀποκεκρίσθαι. ἡ δὲ ἀμφίσβαινα ὄφις ...

1a,1,F 25 STRABON. VIII 3, 9: Ἑκαταῖος δ' ὁ Μιλήσιος ἑτέρους λέγει τῶν Ἠλείων τοὺς Ἐπειούς· τῶι γοῦν Ἡρακλεῖ συστρατεῦσαι τοὺς Ἐπειοὺς ἐπὶ Αὐγέαν καὶ συνανελεῖν αὐτῶι τόν τε Αὐγέαν καὶ τὴν Ἦλιν. φησὶ δὲ καὶ (F 121) τὴν Δύμην Ἐπειίδα καὶ Ἀχαιίδα.

1a,1,F 25bis NATAL. COM. Myth. 6, 23 (p. 656 ed. Genev.): Tyndarus dicitur procos Helenae convocasse, qui super equi execti testibus iurarunt se Helenam defensuros .... post illud iuramentum Tyndarus equum in eo loco infodit, sicuti scripsit Pausanias in Laconicis (3, 20, 9). fuit enim antiquorum consuetudo ut super testibus victimarum plerunque iuraretur, cum foedera inter aliquos percuterentur. idcirco ubi Hercules foedus iniit cum liberis Nelei, fide ultro citroque data, sue mactato, super eius testibus et ipse et illi iurarunt atque confirmarunt iuramentum insuper factum, ut scripsit in Phoroneo Hecataeus.

1a,1,F 26 ARRIAN. anab. II 16, 5 (EUSTATH. Dion. Per. 558): Γηρυόνην δέ, ἐφ' ὅντινα ὁ Ἀργεῖος Ἡρακλῆς ἐστάλη πρὸς Εὐρυσθέως τὰς βοῦς ἀπελάσαι τὰς Γηρυόνου καὶ ἀγαγεῖν ἐς Μυκήνας, οὐδέν τι προσήκειν τῆι γῆι τῆι Ἰβήρων Ἑκαταῖος ὁ λογοποιὸς λέγει, οὐδὲ ἐπὶ νῆσόν τινα Ἐρύθειαν ἔξω τῆς μεγάλης θαλάσσης σταλῆναι Ἡρακλέα, ἀλλὰ τῆς ἠπείρου τῆς περὶ Ἀμπρακίαν τε καὶ Ἀμφιλόχους βασιλέα γενέσθαι Γηρυόνην καὶ ἐκ τῆς ἠπείρου ταύτης ἀπελάσαι Ἡρακλέα τὰς βοῦς, οὐδὲ τοῦτο φαῦλον ἆθλον τιθέμενον. (6) οἶδα δὲ ἐγὼ καὶ εἰς τοῦτο ἔτι εὔβοτον τὴν ἤπειρον ταύτην καὶ βοῦς τρέφουσαν καλλίστας· καὶ ἐς Εὐρυσθέα τῶν μὲν ἐξ Ἠπείρου βοῶν κλέος ἀφῖχθαι καὶ τοῦ βασιλέως τῆς Ἠπείρου τὸ ὄνομα τὸν Γηρυόνην οὐκ ἔξω τοῦ εἰκότος τίθεμαι· τῶν δὲ ἐσχάτων τῆς Εὐρώπης Ἰβήρων οὔτ' ἂν τοῦ βασιλέως τὸ ὄνομα γιγνώσκειν Εὐρυσθέα, οὔτε εἰ βοῦς καλαὶ ἐν τῆι χώραι ταύτηι νέμονται, εἰ μή τις τὴν Ἥραν τούτοις ἐπάγων, ὡς αὐτὴν ταῦτα Ἡρακλεῖ δι' Εὐρυσθέως ἐπαγγέλλουσαν, τὸ οὐ πιστὸν τοῦ λόγου ἀποκρύπτειν ἐθέλοι τῶι μύθωι.

1a,1,F 27a PAUSAN. III 25, 4: ἄκρα Ταίναρον ... ἐπὶ δὲ τῆι ἄκραι ναὸς εἰκασμένος σπηλαίωι καὶ πρὸ αὐτοῦ Ποσειδῶνος ἄγαλμα. (5) ἐποίησαν δὲ Ἑλλήνων τινὲς ὡς Ἡρακλῆς ἀναγάγοι ταύτηι τοῦ Ἅιδου τὸν κύνα, οὔτε ὑπὸ γῆν ὁδοῦ διὰ τοῦ σπηλαίου φερούσης οὔτε ἕτοιμον ὂν πεισθῆναι θεῶν ὑπόγαιον εἶναί τινα οἴκησιν ἐς ἣν ἀθροίζεσθαι τὰς ψυχάς. ἀλλὰ Ἑκαταῖος μὲν ὁ Μιλήσιος λόγον εὗρεν εἰκότ α , ὄφιν φήσας ἐπὶ Ταινάρωι τραφῆναι δεινό ν , κληθῆναι δὲ Ἅιδου κύν α , ὅτι ἔδει τὸν δηχθέντα τεθνάναι παραυτίκα ὑπὸ τοῦ ἰοῦ · καὶ τοῦτον ἔφη τὸν ὄφιν ὑπὸ Ἡρακλέους ἀχθῆναι πα ρ ' Εὐρυσθέ α. (6) Ὅμηρος δέ—πρῶτος γὰρ ἐκάλεσε Ἅιδου κύνα ὅντινα Ἡρακλῆς ἦγεν (Θ 368, λ 623)—οὔτε ὄνομα ἔθετο οὐδὲν οὔτε συνέπλασεν ἐς τὸ εἶδος ὥσπερ ἐπὶ τῆι Χιμαίραι· οἱ δὲ ὕστεροι Κέρβερον ὄνομα ἐποίησαν καὶ ... κεφαλὰς τρεῖς φασιν ἔχειν αὐτόν.

1a,1,F 27b SCHOL. ANTIMACH. (P. Cairo 65741) col. II 26 ff. p. 83 Wyss: (ἐνδέξασθαι) ἀντὶ τοῦ ἐπ[ιτ]άξη 〈ι〉 · Μίμνερμ[ος] δ' [ἐν] τῆι Σμυρν[η]ίδι (578 F 1) ..... καὶ Ἑκατ[αῖ]ος ὁ Μειλήσιός φησιν [οὕ]τως· « εἶνα [ ι δ ]ὲ τὸν ὄφιν δοκέω οὐ μέγα [ν ] ο [ὕ ]τως ο [ ὕτ ε. ] π ε . [ .. ]ιο ν , ἀλ [λ ]ὰ δειν [ό ]τερον τῶν ἄλλων ὀφίω ν , καὶ τού [τ ]ου [ἕ ]νε [ κε ν ] τὸν Ε [ὐ ]ρυσθέα [ἐ ]νδέξασθαι ὡς ἀμήχανον ἐ [ ό ν ]τ α». καὶ Ἡ[σ]ίοδος (—)· «ἐ[ν δ'] ἄρα κούραις δ[έξ]ατο».

1a,1,F 28 —IV 2, 2: χρόνωι δὲ ὕστερον, ὡς ἦν τῶν Πολυκάονος οὐδεὶς ἔτι ἀπογόνων, ἐς γενεὰς πέντε ἐμοὶ δοκεῖν προελθόντων ... Περιήρην τὸν Αἰόλου βασιλέα ἐπάγονται παρὰ τοῦτον ἀφίκετο, ὡς

οἱ Μεσσήνιοί φασι, Μελανεύς, τοξεύειν ἀνὴρ ἀγαθὸς καὶ διὰ τοῦτο Ἀπόλλωνος εἶναι νομιζόμενος· καί οἱ τῆς χώρας τὸ Καρνάσιον, τότε δὲ Οἰχαλίαν κληθεῖσαν, ἀπένειμεν ὁ Περιήρης ἐνοικῆσαι. γενέσθαι δὲ ὄνομα Οἰχαλίαν τῆι πόλει φασὶν ἀπὸ τοῦ Μελανέως τῆς γυναικός. (3) Θεσσαλοὶ δὲ καὶ Εὐβοεῖς ... λέγουσιν οἱ μὲν ὡς τὸ Εὐρύτιον—χωρίον δὲ ἔρημον ἐφ' ἡμῶν ἐστι τὸ Εὐρύτιον—πόλις τὸ ἀρχαῖον ἦν καὶ ἐκαλεῖτο Οἰχαλία, τῶι δὲ Εὐβοέων λόγωι Κρεώφυλος ἐν Ἡρακλείαι (F 2 p. 62 Ki) πεποίηκεν ὁμολογοῦντα. Ἑκαταῖος δὲ ὁ Μιλήσιος ἐν Σκίωι μοίραι τῆς Ἐρετρικῆς ἔγραψεν εἶναι Οἰχαλία ν.

1a,1,F 29a —VIII 4, 8: μετὰ δὲ Αἴπυτον ἔσχεν Ἄλεος τὴν ἀρχήν (in Arkadien) ... Ἀλέωι δὲ ἄρσενες μὲν παῖδες Λυκοῦργός τε καὶ Ἀμφιδάμας καὶ Κηφεύς, θυγάτηρ δὲ ἐγένετο Αὔγη. (9) ταύτηι τῆι Αὔγηι τῶι Ἑκαταίου λόγωι συνεγίνετο Ἡρακλῆς, ὁπότε ἀφίκοιτο ἐς Τεγέαν· τέλος δὲ καὶ ἐφωράθη τετοκυῖα ἐκ τοῦ Ἡρακλέους, καὶ αὐτὴν ὁ Ἄλεος ἐσθέμενος ὁμοῦ τῶι παιδὶ ἐς λάρνακα ἀφίησιν ἐς θάλασσαν, καὶ ἡ μὲν ἀφίκετο ἐς Τεύθραντα δυνάστην ἄνδρα ἐν Καΐκου πεδίωι, καὶ συνώικησεν ἐρασθέντι τῶι Τεύθραντι. καὶ νῦν ἔστι μὲν Αὔγης μνῆμα ἐν Περγάμωι τῆι ὑπὲρ τοῦ Καΐκου ...

1a,1,F 29b —VIII 47, 4: ἔστι δὲ ἐν τοῖς πρὸς ἄρκτον τοῦ ναοῦ κρήνη, καὶ ἐπὶ ταύτηι βιασθῆναι τῆι κρήνηι φασὶν Αὔγην ὑπὸ Ἡρακλέους, οὐχ ὁμολογοῦντες Ἑκαταίωι τὰ ἐς αὐτήν.

1a,1,F 30 ANONYM. π. ὕψ. 27, 2: ὡς καὶ παρὰ τῶι Ἑκαταίωι « Κῆυξ δὲ ταῦτα δεινὰ ποιούμενος αὐτίκα ἐκέλευε τοὺς Ἡρακλείδας ἐπιγόνους ἐκχωρεῖν · οὐ γὰρ ὑμῖν δυνατός εἰμι ἀρήγει ν . ὡς μὴ ὦν αὐτοί τε ἀπολέεσθε καμὲ τρώσετ ε , ἐς ἄλλον τινὰ δῆμον ἀποίχεσθ ε. »

1a,1,F 31 PHOT. lex. s. Τενθεύς· ὁ Πενθεὺς παρ' Ἑκαταίωι.

1a,1,F 32 SCHOL. SOPH. OC 1320 ἕκτος δὲ Παρθενοπαῖος Ἀρκὰς ὄρνυται, ἐπώνυμος τῆς πρόσθεν ἀδμήτης χρόνωι μητρὸς λοχευθείς, πιστὸς Ἀταλάντης γόνος] ἔνιοι οὐ τὸν Ἀταλάντης Παρθενοπαῖόν φασι στρατεῦσαι, ἀλλὰ τὸν Ταλαοῦ (ὃν ἔνιοι διὰ τοῦ κ Καλαὸν προσαγορεύουσι), καθάπερ Ἀρίσταρχος ὁ Τεγεάτης (F 5 N 2 ) καὶ Φιλοκλῆς (F 3 N 2 ) ἱστοροῦσι, συγγραφέων δὲ Ἑκαταῖος ὁ Μιλήσιος.

1a,1,F 33 AELIAN. H A XIII 22: τέτταρες δὲ καὶ εἴκοσι τῶι βασιλεῖ (der Inder) φρουροὶ παραμένουσιν ἐλέφαντες ἐκ διαδοχῆς ... καὶ αὐτοῖς παίδευμα τὴν φρουρὰν 〈ἔχειν〉 οὐ κατανυστάζουσι· διδάσκονται γάρ τοι σοφίαι τινὶ Ἰνδικῆι καὶ τοῦτο. καὶ λέγει μὲν Ἑκαταῖος ὁ Μιλήσιος Ἀμφιάρεων τὸν Οἰκλέους κατακοιμίσαι τὴν φυλακὴν καὶ ὀλίγου παθεῖν ὅσα λέγει.

1a,1,F 34 SCHOL. APOLL. RHOD. II 946: (Andron von Teos 802 F 3) ἐπεὶ δὲ οἱ μέθυσοι σανάπαι λέγονται παρὰ Θραιξίν, ἧι διαλέκτωι χρῶνται καὶ Ἀμαζόνες, κληθῆναι τὴν πόλιν 〈Σανάπην〉, ἔπειτα κατὰ φθορὰν Σινώπην. ἡ δὲ μέθυσος Ἀμαζὼν ἐκ 〈ταύτησ〉 τῆς πόλεως παρεγένετο πρὸς Λυτίδαν, ὥς φησιν Ἑκαταῖος.

1a,1,F 35 Joseph. A J I 107 (Euseb. P E IX 13. Synkell. p. 78 ed. Bonn. Joann. Lyd. De mens. III 5 p. 39, 16 Wü): μαρτυροῦσι δέ μου τῶι λόγωι πάντες οἱ παρ' Ἕλλησι καὶ βαρβάροις συγγραψάμενοι τὰς ἀρχαιολογίας· καὶ γὰρ καὶ Μανέθων ... καὶ Βηρωσὸς ... καὶ Μῶχός τε καὶ Ἑστιαῖος καὶ πρὸς τούτοις ὁ Αἰγύπτιος Ἱερώνυμος ... συμφωνοῦσι τοῖς ὑπ' ἐμοῦ λεγομένοις, (108) Ἡσίοδός τε (F 256 Rz 3 ) καὶ Ἑκαταῖος καὶ Ἑλλάνικος (4 F 202) καὶ Ἀκουσίλαος (2 F 46) καὶ πρὸς τούτοις Ἔφορος (II) καὶ Νικόλαος (II) ἱστοροῦσι τοὺς ἀρχαίους ζήσαντας ἔτη χίλια.

1a,1,F 35bis NATAL. COM. Myth. 3 praef. (p. 186 ed. Genev.): his rationibus (scil. de inferis) ad corporis voluptates pertinentibus (alias enim voluptates vulgus non percipiebat) aliisque similibus conati sunt antiqui multitudinis animos partim spe voluptatum, partim metu suppliciorum ad iustitiam vitaeque integritatem revocare. sed quoniam primus omnium mortalium Pluto istas rationes excogitavit, ut sensit Hecataeu s, hunc esse locorum illorum regem crediderunt,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sicuti ventorum Aeolum, quia mutationes ventorum prior observasset, Lunaeque amicum Endymionem, quia lunae cursum prior et mutationes percepisset.

1a,1,F 35 ter Natal. Com. Myth. 7, 2 (p. 705 ed. Genev.): Alcaeus (—) Oceani et Terrae filium esse sensit, ac Hecataeus Solis et Terra e.

1a,1,F 36a Agathem. ge. inf. I 1 (T 12): οἱ μὲν οὖν παλαιοὶ τὴν οἰκουμένην ἔγραφον στρογγύλην, μέσην δὲ κεῖσθαι τὴν Ἑλλάδα, καὶ ταύτης Δελφούς· τὸν ὀμφαλὸν γὰρ ἔχειν τῆς γῆς. πρῶτος δὲ Δημόκριτος ... συνεῖδεν, ὅτι προμήκης ἐστὶν ἡ γῆ, ἡμιόλιον τὸ μῆκος τοῦ πλάτους ἔχουσα· συνήινεσε τούτωι καὶ Δικαίαρχος ὁ Περιπατητικός. Εὔδοξος δὲ τὸ μῆκος διπλοῦν τοῦ πλάτους· ὁ δὲ Ἐρατοσθένης πλεῖον τοῦ διπλοῦ.

1a,1,F 36b Herodot IV 36: γελῶ δὲ ὁρῶν γῆς περιόδους γράψαντας πολλοὺς ἤδη καὶ οὐδένα νόον ἐχόντως ἐξηγησάμενον, οἳ Ὠκεανόν τε ῥέοντα γράφουσι πέριξ τὴν γῆν, ἐοῦσαν κυκλοτερέα ὡς ἀπὸ τόρνου, καὶ τὴν Ἀσίην τῆι Εὐρώπηι ποιεύντων ἴσην.

1a,1,F 37 HARPOKR. s. ῥοδωνιά· ... ῥοδωνιά ἐστιν ἡ τῶν ῥόδων φυτεία, ὥσπερ ἰωνιὰ ἡ τῶν ἴων, ὡς Ἑκαταῖος ἐν α Περιηγήσεως δηλοῖ.

1a,1,F 38 STEPH. BYZ. s. Ἐλιβύργη· πόλις Ταρτησσοῦ. Ἑκαταῖος Εὐρώπηι. τὸ ἐθνικὸν Ἐλιβύργιος.

1a,1,F 39 —s. Καλάθη· πόλις οὐ πόρρω τῶν Ἡρακλείων στηλῶν. Ἑκαταῖος Εὐρώπηι. Ἔφορος (II) δὲ Καλάθουσαν αὐτήν φησιν.

1a,1,F 40 —s. Ἐλβέστιοι· ἔθνος Λιβύης. Φίλιστος η (III) ‘περὶ δὲ τοὺς Λίβυασ‘ ** Ἑκαταῖος Εὐρώπηι «Ἐλβέστιοι καὶ Μαστιηνοί».

1a,1,F 41 —s. Μαστιανοί· ἔθνος πρὸς ταῖς Ἡρακλείαις στήλαις. Ἑκαταῖος Εὐρώπηι. εἴρηται δὲ ἀπὸ Μαστίας πόλεως.

1a,1,F 42 —s. Μαινοβώρα· πόλις Μαστιηνῶν. Ἑκαταῖος Εὐρώπηι. τὸ ἐθνικὸν Μαινοβωραῖος.

1a,1,F 43 STEPH. BYZ. s. Σίξος· πόλις Μαστιηνῶν. Ἑκαταῖος «μετὰ δὲ Σίξος πόλις».

1a,1,F 44 —s. Μολυβδίνη· πόλις Μαστιηνῶν. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 45 —s. Σικάνη· πόλις Ἰβηρίας, ὡς Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 46 —s. Κραβασία· πόλις Ἰβήρων. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 47 —s. Ἔσδητες· ἔθνος Ἰβηρικόν. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 48 —s. Ὕοψ· πόλις ἐν Ἰβηρίαι χερρονήσου. Ἑκαταῖος Εὐρώπηι. « μετὰ δὲ Ὕοψ πόλι ς , μετὰ δὲ Λεσυρὸς ποταμό ς »

1a,1,F 49 —s. Ἰλαραυγᾶται· οἱ Ἴβηρες. Ἑκαταῖος Εὐρώπηι· « καὶ Ἰλαραυγάτης ποταμό ς »

1a,1,F 50 —s. Μίσγητες· ἔθνος Ἰβήρων. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 51 —s. Κρομύουσα· νῆσος Ἰβηρίας. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 52 —s. Μήλουσα· νῆσος κατὰ Ἴβηρας. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 53 STEPH. BYZ. s. Ἐλίσυκοι· ἔθνος Λιγύων. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 54 —s. Νάρβων· ἐμπόριον καὶ πόλις Κελτική· Στράβων δ (1, 6). Μαρκιανὸς δὲ Ναρβωνησίαν αὐτήν φησι. τὸ ἐθνικὸν Ναρβωνίτης ... ἔστι καὶ λίμνη Ναρβωνῖτις ... καὶ ποταμὸς Ἀτακός. Ἑκαταῖος δὲ «Ναρβαίους» αὐτούς φησι.

1a,1,F 55 —s. Μασσαλία· πόλις τῆς Λιγυστικῆς κατὰ τὴν Κελτικήν, ἄποικος Φωκαέων. Ἑκαταῖος Εὐρώπηι. Τίμαιος (III) δὲ ...

1a,1,F 56 —s. Νύραξ· πόλις Κελτική. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 57 —s. Μόνοικος· πόλις Λιγυστική. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 58 —s. Ἄμπελος· πόλις τῆς Λιγυστικῆς. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 59 STEPH. BYZ. s. Αἰθάλη· νῆσος Τυρσηνῶν. Ἑκαταῖος Εὐρώπηι. ἔοικε δὲ κεκλῆσθαι διὰ τὸ σίδηρον ἔχειν τὸν ἐν αἰθάληι τὴν ἐργασίαν ἔχοντα. Φίλιστος δὲ ἐν ε Σικελικῶν (III) Αἰθάλειαν αὐτὴν καλεῖ· καὶ Ἡρωδιανὸς καὶ Ὦρος. Πολύβιος δὲ ἐν λδ (11, 4) λέγει Αἰθάλειαν τὴν Λῆμνον καλεῖσθαι· ... δύναται τὸ Αἰθαλίτης ἀντὶ τοῦ Χῖος. οὕτω γὰρ ἡ Χῖος ἐλέγετο.

1a,1,F 60 STEPH. BYZ. s. Κύρνος· νῆσος πρόσβορρος Ἰαπυγίας. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 61 STEPH. BYZ. s. Νῶλα· πόλις Αὐσόνων. Ἑκαταῖος Εὐρώπηι. Νώλην δὲ αὐτὴν Πολύβιός φησιν (II 17, 1).

1a,1,F 62 —s. Καπύα· πόλις Ἰταλίας. Ἑκαταῖος Εὐρώπηι. ἀπὸ Κάπυος τοῦ Τρωικοῦ.

1a,1,F 63 —s. Καπριήνη· νῆσος Ἰταλίας. Ἑκαταῖος Εὐρώπηι. λέγονται καὶ Καπρίαι.

1a,1,F 64 STEPH. BYZ. s. Ἀρίνθη· πόλις Οἰνώτρων ἐν μεσογείαι. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 65 —s. Ἀρτεμίσιον· πόλις Οἰνώτρων ἐν μεσογείωι. Ἑκαταῖος Εὐρώπηι ... Φίλιστος (III) δὲ Ἀρτεμίτιον αὐτὴν καλεῖ, ἴσως δωρικῶς.

1a,1,F 66 —s. Ἔριμον· πόλις Οἰνώτρων ἐν μεσογείωι, ὡς Ἑκαταῖος.

1a,1,F 67a —s. Ἰξιάς· πόλις Οἰνώτρων ἐν μεσογείαι. Ἑκαταῖος Εὐρώπηι· « ἐν δὲ Ἰξιὰς πόλι ς , ἐν δὲ Μενεκίνη πόλι ς. »

1a,1,F 67b —s. Μενεκίνη πόλις Οἰνώτρων ἐν μεσογείαι. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 68 —s. Κόσσα· πόλις Οἰνώτρων ἐν τῶι μεσογείωι. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 69 —s. Κυτέριον· πόλις Οἰνώτρων ἐν τῆι μεσογείαι. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 70 —s. Μαλάνιος· πόλις μία μεσογείας τῶν Οἰνώτρων τῶν ὑπὸ Ἑκαταίου καταλεχθεισῶν ἐν Εὐρώπηι. τὸ ἐθνικὸν Μαλάνιος καὶ Μαλανιεύς.

1a,1,F 71 —s. Νίναια· πόλις Οἰνώτρων ἐν τῆι μεσογείαι. Ἑκαταῖος Εὐρώπηι. τὸ ἐθνικὸν Νιναῖος ἢ Νιναιεύς.

1a,1,F 72 STEPH. BYZ. s. Ζάγκλη· πόλις Σικελίας. Ἑκαταῖος Εὐρώπηι. οἱ μὲν ἀπὸ Ζάγκλου τοῦ γηγενοῦς ἢ ἀπὸ κρήνης Ζάγκλης· οἱ δὲ διὰ τὸ ἐκεῖ Κρόνον τὸ δρέπανον ἀποκρύψαι, ὧι τὰ τοῦ πατρὸς ἀπέκοψεν αἰδοῖα. Νίκανδρος ἐν τῶι η Σικελίας (21 Schn.)· ‘καί τις καὶ Ζάγκλης ἐδάη Δρεπανηίδος ἄστυ‘. τὸ γὰρ δρέπανον οἱ Σικελοὶ Ζάγκλον καλοῦσι (Thuk. VI 4, 5).

1a,1,F 73 STEPP. BYZ. s. Κατάνη· πόλις Σικελίας. Ἑκαταῖος Εὐρώπηι· « μετὰ δὲ Κατάνη πόλι ς , ὑπὲρ δὲ ὄρος Αἴτν η. »

1a,1,F 74 —s. Συρακοῦσαι· πόλις Σικελίας μεγίστη, ὡς Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 75 —s. Λιλύβαιον· ἡ πρὸς δύσιν ἄκρα τῆς Σικελίας. Ἑκαταῖος Εὐρώπηι. ἔστι καὶ πόλις.

1a,1,F 76 —s. Μοτύη· πόλις Σικελίας ἀπὸ Μοτύης γυναικὸς μηνυσάσης Ἡρακλεῖ τοὺς ἐλάσαντας τοὺς αὐτοῦ βοῦς. Ἑκαταῖος Εὐρώπηι. Φίλιστος (III) δὲ φρούριον αὐτήν φησι Σικελίας παραθαλάττιον.

1a,1,F 77 —s. Σολοῦς· πόλις Σικελίας, ὡς Ἑκαταῖος ἐν Εὐρώπηι. ἐκλήθη δὲ ἀπὸ Σολοῦντος κακοξένου, ὃν ἀνεῖλεν Ἡρακλῆς.

1a,1,F 78 —s. Ἱμέρα· πόλις Σικελίας. Ἑκαταῖος Εὐρώπηι. ἔστι καὶ Λιβύης· ... ἔστι καὶ ποταμὸς Ἱμέρας, ὡς Νικάνωρ.

1a,1,F 79 —s. Μυλαί· πόλις Σικελίας. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 80 STEPH. BYZ. s. Λαμητῖνοι· πόλις 〈Ἰταλίασ〉 , ἀπὸ Λαμήτου ποταμοῦ πρὸς Κρότων . Ἑκαταῖος Εὐρώπηι· « ἐν δὲ Λάμητος ποταμό ς , ἐν δὲ Λαμητῖνο ι».

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1a,1,F 81 —s. Μέδμη· πόλις Ἰταλίας καὶ κρήνη ὁμώνυμος. Ἑκαταῖος Εὐρώπηι. ἀπὸ Μέδμης κόρης τινός ... ἔστι καὶ ἑτέρα πόλις τῆς Λιγυστικῆς.

1a,1,F 82 —s. Σκύλλαιον· ἄκρα, περὶ ἧς Ἑκαταῖος ἐν Εὐρώπηι φησίν.

1a,1,F 83 —s. Λοκροὶ Ἐπιζεφύριοι· πόλις Ἰταλίας. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 84 —s. Καυλωνία· πόλις Ἰταλίας, ἣν « Αὐλωνία ν » Ἑκαταῖος καλεῖ, διὰ τὸ μέσην αὐλῶνος εἶναι. ἀπὸ γὰρ τῆς Αὐλῶνος ὕστερον μετωνομάσθη Καυλωνία, ὡς ἀπὸ Μετάβου ἥρωος τὸ Μεταπόντιον καὶ Ἐπίδαυρος Ἐπίταυρος καὶ αἱ Κλαζομεναὶ Πλαζομεναί. ἔστι καὶ ἄλλη Σικελίας. ἔστι καὶ ἄλλη Λοκρῶν.

1a,1,F 85 —s. Κρόταλλα· πόλις Ἰταλίας. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 86 STEPH. BYZ. s. Ἰαπυγία· β πόλεις. μία ἐν τῆι Ἰταλίαι καὶ ἑτέρα ἐν τῆι Ἰλλυρίδι (F 97), ὡς Ἑκαταῖος. τὸ ἐθνικὸν Ἰάπυξ καὶ Ἰαπύγιος καὶ Ἰαπυγία.

1a,1,F 87 —s. Ἐλεύτιοι· ἔθνος τῆς Ἰαπυγίας. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 88 —s. Χανδάνη· πόλις Ἰαπυγίας. Ἑκαταῖος Εὐρώπηι « ἐν δὲ Χανδάνη πόλι ς . μετὰ δὲ Πευκαῖο ι. »

1a,1,F 89 —s. Πευκετίαντες· ἔθνος τοῖς Οἰνώτροις προσεχές, ὡς Ἑκαταῖος ἐν Εὐρώπηι.

1a,1,F 90 STEPH. BYZ. s. Ἀδρία· πόλις καὶ παρ᾽ αὐτὴν κόλπος Ἀδρίας καὶ ποταμὸς ὁμοίως, ὡς Ἑκαταῖος. ἡ χώρα τοῖς βοσκήμασίν ἐστιν ἀγαθή, ὡς δὶς τίκτειν τὸν ἐνιαυτὸν καὶ διδυμητοκεῖν, πολλάκις καὶ τρεῖς καὶ τέσσαρας ἐρίφους τίκτειν, ἔνια δὲ καὶ πέντε καὶ πλείους. καὶ τὰς ἀλεκτορίδας δὶς τίκτειν τῆς ἡμέρας, τῶι δὲ μεγέθει πάντων εἶναι μικροτέρας τῶν ὀρνίθων.

1a,1,F 91 —s. Ἴστροι· ἔθνος ἐν τῶι Ἰονίωι κόλπωι. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 92 —s. Καυλικοί· ἔθνος κατὰ τὸν Ἰόνιον κόλπον. Ἑκαταῖος Εὐρώπηι. κέκληται δὲ ἀπὸ ὄρους, ὃ Ἀπολλώνιος (IV 324) μετὰ τοῦ α Καυλιακόν φησι.

1a,1,F 93 —s. Λιβυρνοί· ἔθνος προσεχὲς τῶι ἐνδοτέρωι μέρει τοῦ Ἀδριατικοῦ κόλπου. Ἑκαταῖος Εὐρώπηι. τὸ θηλυκὸν Λιβυρνίς. καὶ Λιβυρναῖοι. ὠνομάσθησαν δὲ ἀπό τινος Λιβυρνοῦ Ἀττικοῦ. εὕρηται τὰ Λιβυρνικὰ σκάφη. καὶ Λιβυρνικὴ μανδύη εἶδος ἐσθῆτος (Aischyl. F 364 N 2 ).

1a,1,F 94 —s. Μέντορες· ἔθνος πρὸς τοῖς Λιβυρνοῖς. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 95 —s. Συώπιοι· ἔθνος προσεχὲς τοῖς Λιβυρνοῖς, ὡς Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 96 —s. Ὑθμῖται· ἔθνος πρὸς Λιβυρνοῖς καὶ Συωπίοις, ὥς φησιν Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 97 —s. Ἰαπυγία· β πόλεις, μία ἐν τῆι Ἰταλίαι (F 86) καὶ ἑτέρα ἐν τῆι Ἰλλυρίδι, ὡς Ἑκαταῖος.

1a,1,F 98 —s. Οἰδάντιον· πόλις Ἰλλυριῶν. Θεόπομπος (II) Φιλιππικῶν λη . τὸ ἐθνικὸν Οἴδαντες, ὥς φησιν Ἑκαταῖος. καὶ Οἰδαντικὴ γῆ.

1a,1,F 99 STEPH. BYZ. s. Σεσάρηθος· πόλις Ταυλαντίων, ὥς φησιν Ἑκαταῖος.

1a,1,F 100 —s. Χελιδόνιοι· ἔθνος Ἰλλυρικόν. Ἑκαταῖος Εὐρώπηι· « Σεσαρηθίων πρὸς βορέω οἰκέουσι Χελιδόνιο ι. »

1a,1,F 101 —s. Ἄβροι (SUID. s. Ἅβρος)· ἔθνος πρὸς τῶι Ἀδρίαι Ταυλαντίων, προσεχὲς τοῖς Χελιδονίοις, ὡς Ἑκαταῖος.

1a,1,F 102a —s. Λάκμων· ἄκρα τοῦ Πίνδου ὄρους, ἐξ ἧς ὁ Ἴναχος καὶ Αἴας ῥεῖ ποταμός, ὡς Ἑκαταῖος ἐν α . ἔστι δὲ παρώνυμον ὡς ἀπὸ τοῦ Λάκμος.

1a,1,F 102b STRAB. VII 5, 8: ὁ Ἄωος, ἐφ᾽ ὧι Ἀπολλωνία πόλις ... τὸν δ᾽ Ἄωον Αἴαντα καλεῖ Ἑκαταῖος, καί φησιν ἀπὸ τοῦ αὐτοῦ τόπου, τοῦ περὶ Λάκμον, μᾶλλον δὲ τοῦ αὐτοῦ μυχοῦ, τόν τε Ἴναχον ῥεῖν εἰς Ἄργος πρὸς νότον καὶ τὸν Αἴαντα πρὸς ἑσπέραν καὶ πρὸς τὸν Ἀδρίαν.

1a,1,F 102c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

—VI 2, 4: φέρονται δ’ ὑπὸ γῆς ποταμοὶ πολλοὶ καὶ πολλαχοῦ τῆς γῆς, ἀλλ’ οὐκ ἐπὶ τοσοῦτον διάστημα. εἰ δὲ τοῦτο δυνατόν, τά γε προειρημένα ἀδύνατα καὶ τῶι περὶ τοῦ Ἰνάχου μύθωι παραπλήσια· ‘ῥεῖ γὰρ ἀπ’ ἄκρας Πίνδου‘, φησὶν ὁ Σοφοκλῆς (F 249 N 2 ) ‘Λάκμου τε ἀπὸ Περραιβῶν εἰς Ἀμφιλόχους καὶ Ἀκαρνᾶνας, μίσγει δ’ ὕδασιν τοῖς Ἀχελώιου‘. καὶ ὑποβάς· ‘ἐνθένδε εἰς Ἄργος διὰ κῦμα τεμὼν ἥκει δῆμον τὸν Λυρκείου‘. ... βελτίων δ’ Ἑκαταῖος, ὅς φησι τὸν ἐν τοῖς Ἀμφιλόχοις Ἴναχον ἐκ τοῦ Λάκμου ῥέοντα, ἐξ οὗ καὶ ὁ Αἴας ῥεῖ, ἕτερον εἶναι τοῦ Ἀργολικοῦ, ὠνομάσθαι δ’ ὑπὸ Ἀμφιλόχου τοῦ καὶ τὴν πόλιν Ἄργος Ἀμφιλοχικὸν καλέσαντος· τοῦτον μὲν οὖν οὗτός φησιν εἰς τὸν Ἀχελῶιον ἐκβάλλειν, τὸν δὲ Αἴαντα εἰς Ἀπολλωνίαν πρὸς δύσιν ῥεῖν.

1a,1,F 103 STEPH. BYZ. s. Δεξάροι· ἔθνος Χαόνων, τοῖς Ἐγχελέαις προσεχεῖς. Ἑκαταῖος Εὐρώπηι. ὑπὸ Ἄμυρον ὄρος οἰκοῦν.

1a,1,F 104 —s. Βαιάκη· πόλις τῆς Χαονίας. Ἑκαταῖος.

1a,1,F 105 —s. Χαονία· μέση τῆς Ἠπείρου ... καὶ ἐν κτητικῶι τύπωι ὁ αὐτὸς (Lykophr. 1320) ‘φθογγὴν ἑδώλων Χαονιτικῶν ἄπο‘. καὶ Χαονικὸς ὡς ἀπὸ τοῦ Χάονος· Ἑκαταῖος Εὐρώπηι· « ὁ δὲ κόλπος Κι 〈χυ〉 ραῖος (? ) καὶ τὸ πεδίον ἐν τῆι Χαονικῆ ι».

1a,1,F 106 —s. Ὠρικός (Eustath. Dion. Per. 321)· πόλις ἐν τῶι Ἰονίωι κόλπωι. Ἑκαταῖος λιμένα καλεῖ Ἠπείρου τὸν Ὠρικὸν ἐν τῆι Εὐρώπηι· « μετὰ δὲ Βουθρωτὸς πόλι ς , μετὰ δὲ Ὠρικὸς λιμή ν». Ἀπολλόδωρος δὲ ὁ θαυμασιώτατος (II) πόλιν αὐτὴν οἶδε. λέγεται ἀρσενικῶς, ὡς Πολύβιος ζ (14 d)· ‘οἱ δὲ τὸν Ὠρικὸν κατοικοῦντες, οἳ καὶ πρῶτοι κεῖνται περὶ τὴν εἰσβολὴν πρὸς τὸν Ἀδρίαν ἐκ δεξιῶν εἰσπλέοντι‘.

1a,1,F 107 STEPH. BYZ. s. Ὀρέσται· Μολοσσικὸν ἔθνος. Ἑκαταῖος Εὐρώπηι. Θεαγένης ἐν Μακεδονικοῖς (III) φησιν ὅτι, ἐπεὶ ἀφείθη τῆς μανίας Ὀρέστης, φεύγων διὰ τὴν αἰδῶ μετὰ τῆς Ἑρμιόνης εἰς ταύτην ἦλθε τὴν γῆν καὶ παῖδα ἔσχεν Ὀρέστην, οὗ ἄρξαντος ἐκλήθησαν Ὀρέσται, αὐτὸς δὲ ...

1a,1,F 108 —s. Δωδώνη· πόλις τῆς Μολοσσίδος ἐν Ἠπείρωι ... τῆς μέν τοι Δωδώνης Δωδωναῖος. Ἑκαταῖος Εὐρώπηι· « Μολοσσῶν πρὸς μεσημβρίης οἰκέουσι Δωδωναῖο ι».

1a,1,F 109 STRABON VI 2, 4: ὑπὸ Ἀμφιλόχου τοῦ καὶ τὴν πόλιν Ἄργος Ἀμφιλοχικὸν καλέσαντος.

1a,1,F 110 STEPH. BYZ. s. Ἐπιλευκάδιοι· πόλις μετὰ Ἀκαρνανίαν. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 111 —s. Λύζεια· πόλις Ἀκαρνανίας. Ἑκαταῖος Εὐρώπηι. ἀπὸ Λυζέως τινός.

1a,1,F 112 —s. Ὀλύκραι· πόλις περὶ Ναύπακτον. Ἑκαταῖος Περιηγήσει Εὐρώπης.

1a,1,F 113a —s. Χάλαιον· πόλις Λοκρῶν. Ἑκαταῖος Εὐρώπηι « μετὰ δὲ Λοκροί · ἐν δὲ Χάλαιον πόλι ς , ἐν δὲ Οἰάνθη πόλι ς».

1a,1,F 113b —s. Οἰάνθη· πόλις Λοκρῶν. Ἑκαταῖος Εὐρώπηι. Ἑλλάνικος (4 F 120) δὲ Οἰάνθειαν αὐτήν φησιν.

1a,1,F 114 —s. Φωκίς· χώρα περὶ τὸν Παρνασσόν. Ἑκαταῖος Εὐρώπηι. ἀπὸ Φώκου τινός.

1a,1,F 115a —s. Κρῖσα· πόλις Φωκίδος. Ἑκαταῖος Εὐρώπηι. ἀπὸ Κρίσου Φώκ 〈ου ὑ〉 ιοῦ. τὸ ἐθνικὸν Κρισαῖος καὶ Κρισαῖον πεδίον ... τινὲς δὲ 〈τὴν〉 αὐτὴν τῆι Κίρραι φασί.

1a,1,F 115b EUSTATH. Il. B 520: Κρίσσα δὲ πεδίον καὶ πόλις ἐν Λοκροῖς ἢ 〈ὡς οἱ πλείονές φασιν Schol. A〉 ἐν Δελφοῖς ἀπὸ Κρίσσου τινὸς τυράννου 〈καὶ Ἀστεροδείας τῆς Δηιονέως Schol. A〉 ἤ, ὡς Ἑκαταῖός φησι, παιδὸς Φώκου.

1a,1,F 116 STEPH. BYZ. s. Χαιρώνεια· πόλις πρὸς τοῖς ὅροις Φωκίδος. Ἑκαταῖος Εὐρώπηι· « ἐν δὲ Χαιρώνεια πόλις τὰ πρῶτ α. » κέκληται ἀπὸ Χαίρωνος. Ἀριστοφάνης ἐν Βοιωτικῶν β (III) ‘λέγεται δ’ οἰκιστὴν γενέσθαι τοῦ πολίσματος Χαίρωνα.‘ ... (4 F 81)

1a,1,F 117 —s. Κορώνεια· πόλις Βοιωτίας. Ἑκαταῖος Εὐρώπηι. ἀπὸ Κορώνου τοῦ Θερσάνδρου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1a,1,F 118 —s. Γέφυρα· πόλις Βοιωτίας. τινὲς δὲ τοὺς αὐτοὺς εἶναι καὶ Ταναγραίους φασίν, ὡς Στράβων (IX 2, 10) καὶ Ἑκαταῖος. ἀφ’ οὗ καὶ Γεφυραία ἡ Δηώ.

1a,1,F 119 STRABON VII 7, 1: Ἑκαταῖος μὲν οὖν ὁ Μιλήσιος περὶ τῆς Πελοποννήσου φησίν, διότι πρὸ τῶν Ἑλλήνων ὤικησαν αὐτὴν βάρβαροι. σχεδὸν δέ τι καὶ ἡ σύμπασα Ἑλλὰς κατοικία βαρβάρων ὑπῆρξε τὸ παλαιόν, ἀπ’ αὐτῶν λογιζομένοις τῶν μνημονευομένων· Πέλοπος μὲν ἐκ τῆς Φρυγίας ἐπαγομένου λαὸν εἰς τὴν ἀπ’ αὐτοῦ κληθεῖσαν Πελοπόννησον, Δαναοῦ δὲ ἐξ Αἰγύπτου, Δρυόπων τε καὶ Καυκώνων καὶ Πελασγῶν καὶ Λελέγων καὶ ἄλλων τοιούτων κατανειμαμένων τὰ ἐντὸς Ἰσθμοῦ καὶ τὰ ἐκτὸς δέ· τὴν μὲν γὰρ Ἀττικὴν οἱ μετὰ Εὐμόλπου Θρᾶικες ἔσχον, τῆς δὲ Φωκίδος τὴν Δαυλίδα Τηρεύς, τὴν δὲ Καδμείαν οἱ μετὰ Κάδμου Φοίνικες, αὐτὴν δὲ τὴν Βοιωτίαν Ἄονες καὶ Τέμμικες καὶ Ὕαντες (ὡς δὲ Πίνδαρός φησιν [F 83] ‘ἦν ὅτε σύας Βοιώτιον ἔθνος ἔνεπον‘). καὶ ἀπὸ τῶν ὀνομάτων δὲ ἐνίων τὸ βάρβαρον ἐμφαίνεται· Κέκροψ καὶ Κόδρος καὶ Αἶκλος καὶ Κόθος καὶ Δρύμας καὶ Κρίνακος. οἱ δὲ Θρᾶικες καὶ Ἰλλυριοὶ καὶ Ἠπειρῶται καὶ μέχρι νῦν ἐν πλευραῖς εἰσιν· ἔτι μέντοι μᾶλλον πρότερον ἢ νῦν, ὅπου γε καὶ τῆς ἐν τῶι παρόντι Ἑλλάδος ἀναντιλέκτως οὔσης [τὴν] πολλὴν οἱ βάρβαροι ἔχουσι Μακεδονίαν μὲν Θρᾶικες καί τινα μέρη τῆς Θετταλίας, Ἀκαρνανίας δὲ καὶ Αἰτωλίας 〈τὰ〉 ἄνω Θεσπρωτοὶ καὶ 〈Κ〉 ασσωπαῖοι καὶ Ἀμφίλοχοι καὶ Μολοττοὶ καὶ Ἀθαμᾶνες, Ἠπειρωτικὰ ἔθνη.

1a,1,F 120 STEPH. BYZ. s. Κόρινθος (EUSTATH. Il. B 570)· πόλις ἔσω τοῦ Ἰσθμοῦ τῆς Πελοποννήσου. Ἑκαταῖος Εὐρώπηι. ἡ αὐτὴ ἐκαλεῖτο Ἐφύρα ἀπὸ Ἐφύρας τῆς Μύρμηκος τῆς Ἐπιμηθέως γυναικός.

1a,1,F 121 STRABON VIII 3, 9: φησὶ δὲ καὶ τὴν Δύμην Ἐπειίδα καὶ Ἀχαιίδα.

1a,1,F 122 STEPH. BYZ. s. Μήκιστον· πόλις Τριφυλίας. Ἑκαταῖος Εὐρώπηι. ἔστι καὶ ἄλλη τῆς Ἤλιδος.

1a,1,F 123 —s. Ἀγάμμεια· ... λέγεται καὶ Μαντίνη κατὰ συναλοιφὴν παρ’ Ἑκαταίωι.

1a,1,F 124 —s. Ὑδρέα· νῆσος πρὸς τῆι Τροιζῆνι. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 125 HARPOKR. s. Καλαύρεια· ... νῆσός ἐστι πλησίον Τροιζῆνος, ὡς Ἑκαταῖος ἐν Περιόδωι τῆς Γῆς ἔφη. ἐκαλεῖτο δὲ πρότερον Εἰρήνη ἡ Καλαύρεια, καθά φησιν Ἀντικλείδης (II).

1a,1,F 126 STEPH. BYZ. s. Θορικός· δῆμος τῆς Ἀκαμαντίδος φυλῆς. Ἑκαταῖος δὲ πόλιν αὐτήν φησιν.

1a,1,F 127 HERODOT. VI 137: Πελασγοὶ ἐπείτε ἐκ τῆς Ἀττικῆς ὑπὸ Ἀθηναίων ἐξεβλήθησαν, εἴτε ὦν δὴ δικαίως εἴτε ἀδίκως—τοῦτο γὰρ οὐκ ἔχω φράσαι, πλὴν τὰ λεγόμενα ὅτι Ἑκαταῖος μὲν ὁ Ἡγησάνδρου ἔφησε ἐν τοῖσι λόγοισι λέγων ἀδίκως· (2) ἐπείτε γὰρ ἰδεῖν τοὺς Ἀθηναίους τὴν χώρην, τήν σφι αὐτοὶ ὑπὸ τὸν Ὑμησσὸν ἐοῦσαν ἔδοσαν οἰκῆσαι μισθὸν τοῦ τείχεος τοῦ περὶ τὴν ἀκρόπολίν κοτε ἐληλαμένου, ταύτην ὡς ἰδεῖν τοὺς Ἀθηναίους ἐξεργασμένην εὖ, τὴν πρότερον εἶναι κακήν τε καὶ τοῦ μηδενὸς ἀξίην, λαβεῖν φθόνον τε καὶ ἵμερον τῆς γῆς, καὶ οὕτως ἐξελαύνειν αὐτοὺς οὐδεμίαν ἄλλην πρόφασιν προισχομένους τοὺς Ἀθηναίους. (3) ὡς δὲ αὐτοὶ Ἀθηναῖοι λέγουσι, δικαίως ἐξελάσαι. κατοικημένους γὰρ τοὺς Πελασγοὺς ὑπὸ τῶι Ὑμησσῶι ἐντεῦθεν ὁρμωμένους ἀδικέειν τάδε· φοιτᾶν γὰρ αἰεὶ τὰς σφετέρας θυγατέρας [τε καὶ τοὺς παῖδας] ἐπ’ ὕδωρ ἐπὶ τὴν Ἐννεάκρουνον· οὐ γὰρ εἶναι τοῦτον τὸν χρόνον σφίσι κω οὐδὲ τοῖσι ἄλλοισι Ἕλλησι οἰκέτας· ὅκως δὲ ἔλθοιεν αὗται, τοὺς Πελασγοὺς ὑπὸ ὕβριός τε καὶ ὀλιγωρίης βιᾶσθαι σφέας. καὶ ταῦτα μέντοι σφι οὐκ ἀποχρᾶν ποιέειν, ἀλλὰ τέλος καὶ ἐπιβουλεύοντας ἐπιχειρήσειν φανῆναι ἐπ’ αὐτοφώρωι. (4) ἑωυτοὺς δὲ γενέσθαι τοσούτωι ἐκείνων ἄνδρας ἀμείνονας, ὅσωι παρεὸν αὐτοῖσι ἀποκτεῖναι τοὺς Πελασγούς, ἐπεί σφεας ἔλαβον ἐπιβουλεύοντας, οὐκ ἐθελῆσαι, ἀλλά σφι προειπεῖν ἐκ τῆς γῆς ἐξιέναι. τοὺς δὲ οὕτω δὴ ἐκχωρήσαντας ἄλλα τε σχεῖν χωρία καὶ δὴ καὶ Λῆμνον. ἐκεῖνα μὲν δὴ Ἑκαταῖος ἔλεξε, ταῦτα δὲ Ἀθηναῖοι λέγουσι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1a,1,F 128 STEPH. BYZ. s. Ἑλένη· νῆσος τῆς Ἀττικῆς. Ἑκαταῖος Εὐρώπηι. ἐκεῖ γὰρ ἀποβῆναί φασι τὴν Ἑλένην μετὰ τὴν ἅλωσιν Ἰλίου (Pausan. I 35, 1). ἐκαλεῖτο δὲ Μάκρις διὰ τὸ μῆκος.

1a,1,F 129 —s. Χαλκίς· πόλις Εὐβοίας. Ἑκαταῖος Εὐρώπηι· « Χαλκὶς πόλις ἐστί ν , ἣ πρότερον Εὔβοια προσηγορεύετ ο». ἐκλήθη δὲ ἀπὸ Κόμβης τῆς Χαλκίδος καλουμένης, θυγατρὸς Ἀσωποῦ. τινὲς δὲ Χαλκιδεῖς φασι κληθῆναι διὰ τὸ χαλκουργεῖα πρῶτον παρ' αὐτοῖς ὀφθῆναι. τὸ παλαιὸν δὲ Στύμφηλος προσηγορεύετο, νῦν δὲ Ἁλικάρνα.

1a,1,F 130 STEPH. BYZ. s. Ὀρέστη· πόλις 〈Εὐβοίασ〉. Ἑκαταῖος Εὐρώπης Περιηγήσει. τὸ ἐθνικὸν Ὀρέσται ὁμοίως.

1a,1,F 131 —s. Κῦνος· ἐπίνειον Ὀποῦντος, ὡς Φίλων (III) καὶ Παυσανίας (X 1, 2). Ἑκαταῖος δὲ πόλιν αὐτήν φησιν. Ὅμηρος (B 531) ‘οἳ Κῦνον τ' ἐνέμοντ' Ὀπόεντά τε Καλλίαρόν τε‘.

1a,1,F 132 —s. Αἰγώνεια· πόλις Μηλιέων. Λυκόφρων (903) ‘ὧν οἱ μὲν Αἰγώνειαν ἄθλιοι πάτραν‘. καὶ Ἑκαταῖος. Ῥιανὸς ις Αἰγώνην αὐτὴν λέγει.

1a,1,F 133 —s. Κραννών· πόλις τῆς Θεσσαλίας τῆς Πελασγιώτιδος ἐν τοῖς Τέμπεσιν, ὡς Ἑκαταῖος Εὐρώπηι. ἔστι καὶ ἄλλη πόλις Ἀθαμ〈α〉νίας ἀπὸ Κράννωνος τοῦ Πελασγοῦ.

1a,1,F 134 —s. Φωτίναιον· προπαροξυτόνως. πόλις Θεσσαλίας, ὡς Ἑκαταῖος Περιηγήσει Εὐρώπης.

1a,1,F 135 —s. Ὀλιζών· πόλις Θετταλίας. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 136 —s. Εὐρυμεναί· πόλις Θεσσαλίας. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 137 —s. Ἰμφεῖς· ἔθνος προσεχὲς τοῖς Περραιβοῖς. Ἑκαταῖος Εὐρώπηι· « οἰκέουσιν Ἰμφέες Περραιβο ί. »

1a,1,F 138a STEPH. BYZ. s. Λῆμνος· νῆσος πρὸς τῆι Θράικηι, δύο πόλεις ἔχουσα, Ἡφαιστίαν καὶ Μύριναν, ὡς Ἑκαταῖος Εὐρώπηι. ἀπὸ τῆς Μεγάλης λεγομένης θεοῦ, ἣν Λῆμνόν φασι. ταύτηι δὲ καὶ παρθένους θύεσθαι. ὠικίσθη δὲ πρῶτον ὑπὸ Θραικῶν, οἳ Σίντιες ἐκαλοῦντο, ὡς Στράβων (XII 3, 20). οἱ δ' αὐτοὶ οὗτοι καὶ Σαπαῖοι.

1a,1,F 138b —s. Ἡφαιστία· πόλις ἐν Λήμνωι. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 138c —s. Μύρινα· πόλις ἐν Λήμνωι. Ἑκαταῖος Εὐρώπηι. ἔστι καὶ τῆς Αἰολίδος ἄλλη (vgl. F 225). ἀπὸ Μυρίνης ἀμφότεραι ἢ ἀπὸ Μυρίνου.

1a,1,F 139 —s. Τένεδος· νῆσος τῶν Σποράδων, ὡς Ἑκαταῖος, ἐν Ἑλλησπόντωι. ἀπὸ Τέννου καὶ Ἀμφιθέας ἢ Ἡμιθέας, τῶν Κύκνου παίδων, οἱονεὶ Τεννούεδος. ἐκαλεῖτο δὲ Λεύκοφρυς.

1a,1,F 140 STEPH. BYZ. s. Μυτιλήνη· πόλις ἐν Λέσβωι μεγίστη. Ἑκαταῖος Εὐρώπηι. ἀπὸ Μυτιλήνης τῆς Μάκαρος ἢ Πέλοπος θυγατρός. οἱ δὲ ὅτι Μυτίλης ἦν ὁ οἰκιστής. οἱ δὲ ἀπὸ Μύτωνος τοῦ Ποσειδῶνος καὶ Μυτιλήνης, ὅθεν Μυτωνίδα καλεῖ τὴν Λέσβον Καλλίμαχος ἐν τῶι δ (F 33 Schn.). Παρθένιος δὲ (F 43 Mart) Μυτωνίδας τὰς Λεσβικάς φησι.

1a,1,F 141 —s. Χίος· ἡ ἐπιφανεστάτη νῆσος τῶν Ἰώνων, ἔχουσα καὶ πόλιν ὁμώνυμον. Ἑκαταῖος Εὐρώπηι « Χίος κατὰ Ἐρυθράς · ἐν δὲ πόλις Χίο ς». ἀπὸ Χίου τῆς Ὠκεανοῦ ἢ ἀπὸ τῆς χιόνος τῆς ἐκεῖ γινομένης πολλῆς ἢ ἀπὸ νύμφης τῆς Χιόνης.

1a,1,F 142 —s. Οἰνοῦσσαι· νῆσοι τῆι Χίωι προσεχεῖς. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 143 —s. Κορσεαί· νῆσος τῆς Ἰωνίας ἀντικρὺ Σάμου. Ἑκαταῖος Εὐρώπηι. Ἡρωδιανὸς (I 285, 1 L) Κορσία διὰ τοῦ ι .

1a,1,F 144 EPIMER. HOM. CRAM. AN. OX. I 223, 16: σεσημειῶται τὸ φακός ὀξυνόμενον· ἔστιν δὲ καὶ βαρυτόνως ὄνομα ὄρους. Ἑκαταῖος· « πρὸς μὲν νότον Πάωλος καὶ Φάκο ς».

1a,1,F 145 HARPOKR. s. Λοιδίας ... ὅτι δὲ τῆς Μακεδονίας ἐστὶ ποταμός, ἄλλοι τε ἱστοροῦσι καὶ Ἑκαταῖος ἐν Περιόδωι Εὐρώπης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1a,1,F 146 STEPH. BYZ. s. Χαλάστρα· πόλις Θράικης περὶ τὸν Θερμαῖον κόλπον. Ἑκαταῖος Εὐρώπηι· « ἐν δ ’ αὐτῶι Θέρμη πόλις Ἑλλήνων Θρηίκω ν , ἐν δὲ Χαλάστρη πόλις Θρηίκω ν». Στράβων δ’ ἐν ζ (fr. 24) Μακεδονίας αὐτὴν καλεῖ. ὠνόμασται δὲ ἀπὸ Χαλάστρης. ἔστι καὶ λίμνη τῆι πόλει ὁμώνυμος.

1a,1,F 147 —s. Σινδοναῖοι· Θράικιον ἔθνος, ὡς Ἑκαταῖος ἐν Εὐρώπηι.

1a,1,F 148 —s. Σμίλα· πόλις Θράικης. Ἑκαταῖος Εὐρώπηι· « μετὰ δὲ Σμίλα πόλι ς».

1a,1,F 149 —s. Λίπαξος· πόλις Θράικης. Ἑκαταῖος.

1a,1,F 150 STEPH. BYZ. s. Μηκύβερνα· πόλις Παλλήνης τῆς ἐν Θράικηι χερρονήσου. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 151 —s. Σερμυλία· πόλις περὶ τὸν Ἄθω, ὡς Ἑκαταῖος.

1a,1,F 152a —s. Γαληψός· πόλις Θράικης καὶ Παιόνων. Ἑκαταῖος Εὐρώπηι. Θουκυδίδης δ (107, 3) ἑτέραν λέγει· ‘καὶ Γαληψὸς οὐ πολλῶι ὕστερον καὶ Οἰσύμη‘. 〈ὠνόμασται δὲ ἀπὸ Γαληψοῦ τοῦ ἐκ Θάσου καὶ Τηλέφης.〉

1a,1,F 152b HARPOKR. s.v. Γαληψός· .... πόλις Θράικης, ὡς οἱ τὰς Περιόδους γεγραφότες φασί ν. ὠνομάσθη δὲ ἀπὸ Γαληψοῦ τοῦ ἐκ Θάσου καὶ Τηλέφης, ὡς Μαρσύας ὁ νεώτερος ἐν πέμπτωι Μακεδονικῶν (135/6 F 5).

1a,1,F 153 —s. Κρήστων· πόλις Θράικης. ἔοικε δὲ εἶναι ἡ Κρήστων παρ’ Ἡροδότωι (I 57). Λυκόφρων (937)· ‘ὁρκωμοτῆσαι τόν τε Κρηστώνης θεόν‘. ὁ πολίτης Κρηστωναῖος παρὰ Πινδάρωι (F 309). Ῥιανὸς δὲ Κρηστωνίους αὐτούς φησιν. Ἑκαταῖος δὲ Κρηστῶνας αὐτοὺς ἐν Εὐρώπηι. καὶ Κρηστωνικόν κτητικόν (Thuk. IV 109, 4).

1a,1,F 154 ATHENAI. X 447 D: Ἑκαταῖος (F 323a) ... ἐν δὲ τῆι τῆς Εὐρώπης Περιόδωι Παίονάς φησι πίνειν « βρῦτον ἀπὸ τῶν κριθῶν καὶ παραβίην ἀπὸ κέγχρου καὶ κονύζη ς . ἀλείφονται δ έ». φησίν « ἐλαίωι ἀπὸ γάλακτο ς».

1a,1,F 155 STEPH. BYZ. s. Αἰγιαλός ... ἔστι καὶ Θράικης Αἰγιαλὸς παρὰ τῶι Στρυμόνι, ὡς Ἑκαταῖος.

1a,1,F 156 —s. Φάγρης· πόλις Θράικης. Ἑκαταῖος Εὐρώπηι· καὶ Θουκυδίδης β (99, 3).

1a,1,F 157 —s. Σάτραι· ἔθνος Θράικης, ὡς Ἑκαταῖος ἐν Εὐρώπηι φησί.

1a,1,F 158 —s. Ἄβδηρα· πόλεις δύο. ἡ μὲν Θράικης, ἀπὸ Ἀβδήρου ... ὡς Ἑλλάνικος (4 F 105) καὶ ἄλλοι φασίν ... ἡ δὲ δευτέρα πόλις τῆς Ἰβηρίας πρὸς τοῖς Γαδείροις, ὡς Ἀρτεμίδωρος ἐν β Γεωγραφουμένων (V). ὁ πολίτης Ἀβδηρίτης ... τοῦ Ἀβδηρίτης μέμνηται Εὔδοξος ἐν δ Περιόδων (V) καὶ Παυσανίας ἕκτηι Περιηγήσεως (5, 4) καὶ Ἡρόδοτος ἑβδόμηι (120. 137) καὶ πολλαχοῦ, Ἑκαταῖός τε καὶ πολλοί.

1a,1,F 159 —s. Μαρώνεια· πόλις Κικονίας κατὰ τὴν Θράικην [χερρόνησον]. 〈Ἑκαταῖος Εὐρώπηι〉 · « ἐν δὲ λίμνη Μάρι ς , ἐν δὲ Μαρώνεια πόλι ς».

1a,1,F 160 —s. Δρῦς· πόλις Θράικης. Ἑκαταῖος Εὐρώπηι. ἔστι καὶ πόλις τῶν Οἰνώτρων.

1a,1,F 161 —s. Ζώνη· πόλις Κικόνων. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 162 —s. Κύπασις· πόλις περὶ Ἑλλήσποντον. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 163 STEPH. BYZ. s. Χερρόνησος· πόλις ἐν τῆι κατὰ Κνίδον χερρονήσωι ... ἔστι β πόλις ἐν τῆι Θράικηι Χερρόνησος, περὶ ἧς Ἑκαταῖος ἐν Εὐρώπηι· « ἐν δ ’ αὐτοῖσι πόλις Χερρόνησος ἐν τῶι ἰσθμῶι τῆς χερρονήσο υ». καὶ τὸν πολίτην Χερρονησιόν φησι· « Ἀψινθίοισι πρὸς μεσημβρίαν ὁμουρέουσι 〈Χερρονήσιο ι». Ἡρόδοτος (IX 118) δὲ Χερρονησίτησ〉 · ‘Χερρονησῖται ἀπὸ τῶν πύργων ἐσημήναντο τοῖσιν Ἀθηναίοισι τὸ γεγονόσ‘. τούτους καὶ ** Χερρονησίους λέγει, ὧν τὸ θηλυκὸν Εὐριπίδης (Hek. 8) ‘ὃς τὴν ἀρίστην Χερρονησίαν πλάκα‘.

1a,1,F 164 —s. Λίμναι· πόλις ἐν Ἑλλησπόντωι περὶ Σηστόν. Ἑκαταῖος Εὐρώπηι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1a,1,F 165 —s. Μαδυτός· πόλις Ἑλλησποντία. Ἑκαταῖος Εὐρώπηι καὶ ἄλλοι.

1a,1,F 166 HERODIAN. π. μον. λέξ. 31, 26 (II 937, 10 L): Βόρυζα πόλις Περσική, ὡς Ἑκαταῖος Περιηγήσει Εὐρώπης· « μετὰ δὲ Βόρυζα πόλις Περσέω ν , μετὰ δὲ Θυνιά ς».

1a,1,F 167 PHOTIOS LEX. p. 53, 21 Reitz. (BEKK. ANECD. I 362, 24): Αἷμον· τὸ ὄρος οὐδετέρως· Ἑκαταῖος διὰ παντὸς καὶ Διονύσιος (III) καὶ Ἑλλάνικος ἐν α Ἀτθίδος (4 F 41) καὶ Τίμαιος (III) καὶ Εὔδοξος (V).

1a,1,F 168 STEPH. BYZ. s. Ἴτων· πόλις Θεσσαλίας· ʻἼτωνά τε μητέρα μήλωνʻ (Il. B 696) ... τινὲς δὲ Σιτῶνα αὐτήν φασι διὰ τὸ σιτοφόρον ... καὶ χώρα Ἰτώνη ὑπὸ τὸν Αἷμον, ὡς Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 169 —s. Καβασσός· πόλις ἐν Καππαδοκίαι, πατρὶς Ὀθρυονέως. Ὅμηρος (Il. N 363) ʻΚαβησσόθεν ἔνδον ἐόνταʻ. Ἑκαταῖος δ' ὁ Μιλήσιος Καβησσὸν πόλιν εἶναί φησιν « ὑπερβάντι τὸν Θράικιον Αἷμο ν». καὶ συμφωνεῖ καὶ ἡ τοῦ γάμου ἐλπὶς τῶν Θραικῶν ἀκολασίαι. Ἑλλάνικος (4 F 147) δὲ τῆς Λυκίας πόλιν Καβησσόν. Ἀπίων δὲ ἀληθέστερόν φησι κώμην εἶναι Καππαδοκίας μεταξὺ Ταρσοῦ καὶ Μαζάκων.

1a,1,F 170 —s. Κρόβυζοι· ἔθνος πρὸς νότου ἀνέμου τοῦ Ἴστρου. Ἑκαταῖος Εὐρώπηι. ἐξ οὗ Κροβυζικὴ ἡ γῆ.

1a,1,F 171 —s. Τριζοί· ἔθνος πρὸς νότον τοῦ Ἴστρου. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 172 —s. Ὀργάμη· πόλις ἐπὶ τῶι Ἴστρωι. Ἑκαταῖος Εὐρώπηι. εἰσὶ καὶ Ὀργομεναί, πόλις Ἰλλυρίας.

1a,1,F 173 —s. Αἰζική· Θράικης μέρος. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 174 STEPH. BYZ. s. Βάντιοι· ἔθνος Θράικης. Ἑκαταῖος.

1a,1,F 175 —s. Δάρσιοι· ἔθνος Θράικιον. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 176 —s. Δασιλοί· ἔθνος Θραικικόν. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 177 —s. Δατύλεπτοι· ἔθνος Θράικης. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 178 —s. Δισοραί· ἔθνος Θράικιον. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 179 —s. Ἐντριβαί· ἔθνος Θράικης. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 180 —s. Ξάνθοι· ἔθνος Θράικιον. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 181 —s. Σατροκένται· ἔθνος Θράικιον, ὡς Ἑκαταῖος ἐν Εὐρώπηι.

1a,1,F 182 —s. Σκαί· ἔθνος μεταξὺ τῆς Τρωάδος καὶ τῆς Θράικης, ὡς Ἑκαταῖος ἐν Εὐρώπηι.

1a,1,F 183 —s. Τρίσπλαι· ἔθνος Θράικιον. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 184 STEPH. BYZ. s. Καρκινῖτις· πόλις Σκυθική. Ἑκαταῖος Εὐρώπηι. οἱ κατοικοῦντες Καρκινῖται.

1a,1,F 185 —s. Μελάγχλαινοι· ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπηι. κέκληνται ἀφ' ὧν φοροῦσιν, ὡς Ἱππημολγοὶ παρὰ τὸ τὰς ἵππους ἀμέλγειν καὶ Μοσσύνοικοι παρὰ τὰς οἰκήσεις.

1a,1,F 186 —s. Ἠδοί· ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 187 —s. Ἴσηπος· ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 188 —s. Καρδησσός· πόλις Σκυθίας. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 189 —s. Ματυκέται· ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 190 —s. Μυργέται· ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπηι. ἔν τισι δὲ τῶν Ἡρωδιανοῦ (II 552, 14 L) γράφεται διὰ γετῶν, κακῶς.

1a,1,F 191 STEPH. BYZ. s. Δανδάριοι· ἔθνος περὶ τὸν Καύκασον, ὡς Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 192 —s. Τιπάνισσαι· ἔθνος παρὰ τὸν Καύκασον. Ἑκαταῖος Εὐρώπηι.

1a,1,F 193

Eulogikon public reading copy · View original HTML at eulogikon.org

STEPH. BYZ. s. Ἰσσηδόνες· ἔθνος Σκυθικόν. Ἑκαταῖος Ἀσίαι. Ἀλκμὰν (F 136 A) δὲ μόνος Ἐσσηδόνας αὐτούς φησιν· εὑρίσκεται δὲ ἡ δευτέρα παρ’ ἄλλοις διὰ τοῦ ε . λέγονται καὶ Ἰσσηδοί τρισυλλάβως. ἔστι καὶ Ἰσσηδών πόλις.

1a,1,F 194 STRAB. VII 3, 6: ἀπὸ δὲ τούτων ἐπὶ τοὺς συγγραφέας βαδίζει Ῥιπαῖα ὄρη λέγοντας καὶ τὸ Ὠγύιον ὄρος καὶ τὴν τῶν Γοργόνων καὶ Ἑσπερίδων κατοικίαν. s. T 13.

1a,1,F 195 Anon. Peripl. Pont. Eux. 49 (= Ps. Skymn. 865ff.) ἀπὸ δὲ τῶν Μαιωτῶν λαβοῦσα τὸ ὄνομα Μαιῶτις ἑξῆς ἐστι λίμνη κειμένη, εἰς ἣν ὁ Τάναις, ἀπὸ τοῦ ποταμοῦ λαβὼν τὸ ῥεῦμ’ Ἀράξεως, ἐπιμίσγεθ’, ὡς Ἑκαταῖος ἐφοτιεις. ὡς δὲ Ἔφορος (II) ἱστόρηκεν, ἐκ λίμνης τινός, ἧς τὸ πέρας ἐστὶν ἄφραστον· ἐξίησι δὲ δίστομον ἔχων τὸ ῥεῖθρον ἐς τὴν λεγομένην Μαιῶτιν ἐς τὸν Κιμμερικόν τε Βόσπορον.

1a,1,F 196 EPIMER. HOM. Cram. An. Ox. I 287, 28 (HERODIAN II 225, 9 L): μεμετρέαται· τοῦτο Ἰωνικόν ἐστιν. ὡς γὰρ νενόηνται νενοέαται καὶ περιποίηνται περιποιέαται, οὕτως καὶ μεμέτρηνται « μεμετρέατα ι » παρὰ τῶι Ἑκαταίωι ** ‘ὁ μὲν οὖν Βόσπορος καὶ ὁ Πόντος οὕτω καὶ ὁ Ἑλλήσποντος κατὰ ταὐτά μοι μεμετρέαται‘ (Herod. IV 86). καὶ παρ’ Ἱππώνακτι ... κεκινέαται· καὶ Ἀνακρέων ... ἐκκεκωφέαται· καὶ τὸ περιβεβλέαται.

1a,1,F 197 AMMIAN. MARCELL. XXII 8, 9: hoc modo fractum et participatione maris utriusque finitum, iamque mitescens in aequoream panditur (sc. mare Aegaeum) faciem, quantum potest cadere sub aspectum, late diffusum et longe. (10) omnis autem eius velut insularis circuitus litorea navigatio, viginti tribus dimensa milibus stadiorum, ut Eratosthenes (V) adfirmat et Hecataeus et Ptolomaeus aliique huius modi cognitionum minutissimi scitatores, 〈in〉 speciem Scythici arcus, nervo coagmentati, geographiae totius adsensione formatur ... (13) extremitates autem arcus utrimque tenues duo exprimunt Bospori, e regione sibi oppositi, Thracius et Cimmericus.

1a,1,F 198 STEP. BYZ. s. Στεφανίς· πόλις Μαριανδυνῶν. Ἑκαταῖος Ἀσίαι. τὸ ἐθνικὸν Στεφανίτης.

1a,1,F 199 STRAB. XII 3, 25 (EUSTATH. II. B 852): ἀλλ’ οὐδὲ δόξαν ἔχει τοιαύτην τῶν παλαιῶν εἰπεῖν, ὡς συμφωνούντων ἁπάντων, μηδένας ἐκ τῆς περαίας τοῦ Ἅλυος κοινωνῆσαι τοῦ Τρωικοῦ πολέμου. πρὸς τοὐναντίον δὲ μᾶλλον εὕροι τις ἂν μαρτυρίας· Μαιάνδριος (III) γοῦν ἐκ τῶν Λευκοσύρων φησὶ τοὺς Ἐνετοὺς ὁρμηθέντας συμμαχῆσαι τοῖς Τρωσίν, ἐκεῖθεν δὲ μετὰ τῶν Θραικῶν ἀπᾶραι καὶ οἰκῆσαι περὶ τὸν τοῦ Ἀδρίου μυχόν, τοὺς δὲ μὴ μετασχόντας τῆς στρατείας Ἐνετοὺς Καππάδοκας γενέσθαι ... αὐτὸς δὲ ὁ Ἀπολλόδωρος (II) παρατίθησι τὸ τοῦ Ζηνοδότου ὅτι γράφει ‘ἐξ Ἐνετῆς, ὅθεν ἡμιόνων γένος ἀγροτεράων‘ (Il. B 852). ταύτην δέ φησιν Ἑκαταῖον τὸν Μιλήσιον δέχεσθαι τὴν Ἀμισόν.

1a,1,F 200 STEPH. BYZ. s. Χαδισία· πόλις Λευκοσύρων. Ἑκαταῖος ἐν Ἀσία ι. οἱ πολῖται Χαδίσιοι καὶ Χαδισία. s. F 7.

1a,1,F 201 —s. Τείρια· πόλις Λευκοσύρων. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 202 —s. Σταμένη· πόλις Χαλύβων. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 203 —s. Χάλυβες· παρὰ τὸν Πόντον ἔθνος ἐπὶ τῶι ποταμῶι Θερμώδοντι ... καὶ Χάλυβοι παρ’ Ἑκαταίωι· « Χαλύβοισι πρὸς νότον Ἀρμένιοι ὁμουρέουσ ι. »

1a,1,F 204 —s. Χοιράδες· πόλις Μοσσυνοίκων. Ἑκαταῖος Ἀσίαι· « Τιβαρηνοῖσι δὲ πρὸς ἥλιον ἀνίσχοντα Μοσσύνοικοι ὁμουρέουσι ν . ἐν δ ’ αὐτοῖσι Χοιράδες πόλι ς. »

1a,1,F 205 —s. Μάρες· ἔθνος προσεχὲς τοῖς Μοσσυνοίκοις. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 206 —s. Μάκρωνες· οἱ νῦν Σάννοι. Στράβων ιβ (3, 18) καὶ Ἑκαταῖος Ἀσίαι καὶ Ἀπολλώνιος β (394).

1a,1,F 207

Eulogikon public reading copy · View original HTML at eulogikon.org

—s. Χοί· ἔθνος Βεχείρων ἐγγύς. Ἑκαταῖος ἐν Ἀσίαι· « ἐς μὲν τοῦτο ἡ Βεχειρικ ή , ἔχονται δ ’ αὐτῶν Χο ί. » καὶ πάλιν· « μέχρι μὲν τούτων Χο ί. » καὶ πάλιν· « Χοῖσι δ ’ ὁμουρέουσι πρὸς ἥλιον ἀνίσχοντα Δίζηρε ς. »

1a,1,F 208 —s. Ἑρμώνασσα· νῆσος μικρὰ πόλιν ἔχουσα ἐν τῶι Κιμμερίωι Βοσπόρωι, Ἰώνων ἄποικον, ὡς ὁ Περιηγητής (552f.). ταύτην ὁ Σκύμνος (V) καὶ Ἑρμώνειαν καλεῖ. Στράβων ἐν ζ (3, 16) Ἑρμώνακτος κώμην φησί. Μένιππος δὲ χωρίον Τραπεζοῦντος ἐν Περίπλωι τῶν δύο Πόντων (V). Ἑκαταῖος δὲ καὶ Θεόπομπος (II) πόλιν αὐτήν φασιν.

1a,1,F 209 —s. Κῶλοι· ἔθνος πρὸς τῶι Καυκάσωι. Ἑκαταῖος Ἀσίαι. αἱ δὲ ὑπώρειαι τοῦ Καυκάσου καλοῦνται Κωλικὰ ὄρη. ἡ χώρα Κωλική.

1a,1,F 210 —s. Κόραξοι· ἔθνος Κόλχων πλησίον Κώλων. Ἑκαταῖος Ἀσίαι. Κοραξικὸν τεῖχος καὶ Κοραξικὴ χώρα.

1a,1,F 211 STEPH. BYZ. s. Ἀπάτουρον· τὸ τῆς Ἀφροδίτης ἱερὸν ἐν Φαναγορ〈ε〉ίαι, Στράβων ια (2, 10) ... Ἑκαταῖος δὲ κόλπον οἶδε τὸν Ἀπάτουρον ἐν τῆι Ἀσίαι.

1a,1,F 212 —s. Φαναγόρεια· πόλις ἀπὸ Φαναγόρου, ὡς Ἑκαταῖος Ἀσίαι. ἡ νῆσος Φαναγόρη καὶ Φαναγόρεια. ἔστι καὶ ἐμπόριον τὰ Φαναγόρεια οὐδετέρως.

1a,1,F 213 —s. Κρόσσα· πόλις πρὸς τῶι Πόντωι. Ἑκαταῖος Ἀσίαι. τὸ ἐθνικὸν Κροσσαῖος.

1a,1,F 214 —s. Πάτρασυς· πόλις Ποντική, ὡς Ἑκαταῖος Ἀσίαι.

1a,1,F 215 —s. Ἰάμαι· ἔθνος Σκυθικόν. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 216 —s. Ἰξιβάται· ἔθνος πρὸς τῶι Πόντωι προσεχὲς τῆι Σινδικῆι. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 217 STRAB. XII 3, 22 (EUSTATH. Il. B 857): ὁ δὲ Σκήψιος οὔτε τὴν τούτου (sc. des Ephoros) δόξαν, 〈ὡσ〉 ἔοικεν, ἀποδεξάμενος οὔτε τῶν περὶ τὴν Παλλήνην τοὺς Ἁλιζώνους ὑπολαβόντων ... ὁμοίως διαπορεῖ καὶ πῶς ἐκ τῶν ὑπὲρ τὸν Βορυσθένην νομάδων ἀφῖχθαι συμμαχίαν τοῖς Τρωσί τις νομίσειεν, ἐπαινεῖ δὲ μάλιστα τὴν Ἑκαταίου τοῦ Μιλησίου καὶ Μενεκράτους τοῦ Ἐλαίτου (V), τῶν Ξενοκράτους γνωρίμων ἀνδρός, δόξαν καὶ τὴν Παλαιφάτου (44 F 4), ὧν ὁ μὲν ἐν Γῆς Περιόδωι φησίν· « ἐπὶ δὲ Ἀλαζίαι πόλι ποταμὸς Ὀδρύσσης 〈ὃσ〉 ῥέων διὰ Μυγδον〈ί〉ης πεδίου ἀπὸ δύσιος ἐκ τῆς λίμνης τῆς Δασκυλίτιδος ἐς Ῥύνδακον ἐσβάλλε ι. » ἔρημον δὲ εἶναι νῦν τὴν Ἀλαζίαν λέγει, κώμας δὲ πολλὰς τῶν Ἀλαζώνων οἰκεῖσθαι, δι’ ὧν Ὀδρύσσης ῥεῖ· ἐν δὲ ταύταις τὸν Ἀπόλλωνα τιμᾶσθαι διαφερόντως, καὶ μάλιστα κατὰ τὴν ἐφορείαν τῶν Κυζικηνῶν. ὁ δὲ Μενεκράτης ἐν τῆι Ἑλλησποντιακῆι Περιόδωι ὑπερκεῖσθαι λέγει τῶν περὶ τὴν Μύρλειαν τόπων ὀρεινὴν συνεχῆ, ἣν κατώικει τὸ τῶν Ἁλιζώνων ἔθνος ... ὁ δὲ Παλαίφατός φησιν ἐξ Ἀλαζώνων τῶν ἐν τῆι Ἀλόπηι οἰκούντων, νῦν δὲ Ζελείαι, τὸν Ὀδίον καὶ τὸν Ἐπίστροφον στρατεῦσαι. τί οὖν ἄξιον ἐπαινεῖν τὰς τούτων δόξας; χωρὶς γὰρ τοῦ τὴν ἀρχαίαν γραφὴν καὶ τούτους κινεῖν οὔτε τὰ ἀργυρεῖα δεικνύουσιν, οὔτε που τῆς Μυρλεάτιδος Ἀλόπη ἐστίν, οὔτε πῶς οἱ ἐνθένδε ἀφιγμένοι εἰς Ἴλιον τηλόθεν ἦσαν, εἰ καὶ δοθείη Ἀλόπην τινὰ γεγονέναι ἢ Ἀλαζίαν.

1a,1,F 218 STEPH. BYZ. s. Σκυλάκη· πόλις περὶ Κύζικον. Ἑκαταῖος Ἀσίαι. ὁ πολίτης Σκυλακηνὸς καὶ Σκυλάκιος.

1a,1,F 219 —s. Δολίονες· οἱ τὴν Κύζικον οἰκοῦντες, οὓς Δολιέας εἶπεν Ἑκαταῖος. λέγονται καὶ Δολιόνιοι, καὶ θηλυκῶς Δολιονία.

1a,1,F 220 —s. Ἄβαρνος· πόλις καὶ χώρα 〈καὶ〉 ἄκρα τῆς Παριανῆς ... Ἑκαταῖος δ’ ὁ Μιλήσιος ἐν Ἀσίας Περιηγήσει Λαμψάκου ἄκρην εἶναί φησιν. Ἔφορος δ’ ἐν τῆι ε (II) λέγει κληθῆναι αὐτὴν ἀπὸ τῆς ἐν Φωκ〈α〉ίδι Ἀβαρνίδος ὑπὸ Φωκ〈α〉έων τὴν Λάμψακον κτιζόντων.

1a,1,F 221 —s. Σίγη· πόλις Τρωάδος, ὡς Ἑκαταῖος Ἀσίαι. τὸ ἐθνικὸν Σιγίτης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1a,1,F 222 —s. Μυρικοῦς· πόλις καταντικρὺ Τενέδου καὶ Λέσβου τῆς Τροίας. Ἑκαταῖος· « ἐς Μυρικόεντα τῆς Τρωικῆ ς. »

1a,1,F 223 —s. Λαμπώνεια· πόλις Τρωάδος. Ἑκαταῖος Ἀσίαι. τὸ ἐθνικὸν Λαμπωνεύς. Ἑλλάνικος (4 F 159) δὲ Λαμπώνιον αὐτήν φησι καὶ τὸ ἐθνικὸν Λαμπωνιεύς.

1a,1,F 224 —s. Γάργαρα· πόλις τῆς Τρωάδος ἐπὶ τῆι ἄκραι τῆς Ἴδης, πάλαι Γάργαρος καλουμένη, ἣν Αἰολικὴν ὀνομάζει Στράβων (XIII 1, 5. 58) καὶ Ἑκαταῖος. Ἀλκμὰν (F 131) δὲ θηλυκῶς τὴν Γάργαρόν φησιν, ἐν ἧι κατώικουν Λέλεγες. ὠνομάσθη δὲ ἀπὸ Γαργάρου τοῦ Διός, τοῦ ἐκ τῆς Θεσσαλίας ἐν Λαρίσσηι ... καὶ Γάργαρα ἄκρα. Ἐπαφρόδιτος δέ φησιν ὅτι ἡ μὲν πόλις θηλυκῶς λέγεται, τὸ δ᾽ ἀκρωτήριον οὐδετέρως. Ἑλλάνικος (4 F 158) δὲ Γάργασον ἔφη τὴν πόλιν διὰ τοῦς · ἀλλ᾽ οἴομαι σφάλμα εἶναι.

1a,1,F 225 —s. Γρῦνοι· πολίχνιον Μυριναίων (s. F 138c), οὗ καὶ ἱερὸν Ἀπόλλωνος καὶ μαντεῖον ἀρχαῖον καὶ ναὸς πολυτελὴς λευκοῦ λίθου, ἐν ὧι τιμᾶται (Strab XIII 3, 5). Ἑκαταῖος δὲ τὴν πόλιν Γρύνειαν καλεῖ.

1a,1,F 226 —s. Ἀμαζόνειον· ... οὕτως ἐκαλεῖτο καὶ ἡ Κύμη, ἐν ἧι αἱ Ἀμαζόνες ὤικουν. Ἑκαταῖος δ᾽ ἐν τοῖς Αἰολικοῖς διὰ τοῦ ι γράφει τὸ ὄνομα.

1a,1,F 227 —s. Μέλητος κόλπος· ὁ Σμυρναῖος ἐκαλεῖτο ἀπὸ Μελήτου ποταμοῦ, ὡς Ἑκαταῖος ἐν Αἰολικοῖς.

1a,1,F 228 STEPH. BYZ. s. Ἐρυθρα〈ί〉· πόλις Ἰώνων. Ἑκαταῖος Ἀσίαι. ἐκαλεῖτο δὲ Κνωπούπολις ἀπὸ Κνώπου.

1a,1,F 229 —s. Σίδουσσα· πόλις Ἰωνίας. Ἑκαταῖος Ἀσίαι· « ἐν δὲ Σίδουσσα πόλι ς».

1a,1,F 230 STEPH. BYZ. s. Κυβέλεια· πόλις Ἰωνίας. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 231 —s. Κώρυκος· ... (s. F 267) ἔστι καὶ Κώρυκος ὄρος ἀρσενικῶς λεγόμενον, ὑψηλόν, πλησίον Τέω τῆς Ἰωνίας καὶ Ἐρυθρῶν, ὡς Ἑκαταῖος ἐν Ἀσίαι.

1a,1,F 232 —s. Μυόννησος· πόλις μεταξὺ Τέω καὶ Λεβέδου (= Strab. XIV 1, 29). Ἑκαταῖος Ἀσίαι. Ἀρτεμίδωρος (V) δὲ χωρίον αὐτήν φησι

1a,1,F 233 —s. Νότιον· πόλις Ἰωνίας. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 234 HERODIAN. π. μον. λέξ. 13, 17 (II 920, 7 L): Κόλουρα· ἔστι δὲ πόλεως ὄνομα, ὡς Ἑκαταῖος· « δοκέω δὲ μάλιστα παρὰ Κόλουρα ν , ἵνα Πρ〈ι〉ηνῆς ἔζοντ ο» .

1a,1,F 235 STEPH. BYZ. s. Μύης· Μύητος ὡς Φάγρης Φάγρητος. πόλις Ἰωνική. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 236 —s. Σιδήλη· πόλις Ἰωνίας. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 237 —s. Κυνή· πόλις Λυδίας. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 238 —s. Μιμνηδός· πόλις Λυδῶν. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 239 STRAB. XIV 1, 8: ἑξῆς δ᾽ ἐστὶν ὁ Λατμικὸς κόλπος, ἐν ὧι Ἡράκλεια ἡ ὑπὸ Λάτμωι λεγομένη, πολίχνιον ὕφορμον ἔχον. ἐκαλεῖτο δὲ πρότερον Λάτμος ὁμωνύμως τῶι ὑπερκειμένωι ὄρει, ὅπερ Ἑκαταῖος μὲν ἐμφαίνει, τὸ αὐτὸ εἶναι νομίζων τῶι ὑπὸ τοῦ ποιητοῦ Φθειρῶν ὄρει λεγομένωι (Il. B 868)· ὑπὲρ γὰρ τῆς Λάτμου φησὶ τὸ Φθειρῶν ὄρος κεῖσθαι.

1a,1,F 240 STEPH. BYZ. s. Μίλητος· πόλις ἐπιφανὴς ἐν Καρίαι τῶν Ἰώνων. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 241 —s. Λάδη· νῆσος Ἰωνίας. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 242 —s. Καρύανδα· πόλις καὶ λίμνη ὁμώνυμος πλησίον Μύνδου καὶ Κῶ. Ἑκαταῖος Καρύανδαν αὐτήν φησιν.

1a,1,F 243 —s. Μύνδος· πόλις Καρίας. Ἑκαταῖος Ἀσίαι. ἔστι καὶ πόλις Καρίας ἄλλη Παλαιὰ Μύνδος.

1a,1,F 244 —s. Μέδμασος· πόλις Καρίας. Ἑκαταῖος Ἀσίαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1a,1,F 245 —s. Ἱππόνησος· πόλις Καρίας. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 246 —s. Κορύδαλλα. πόλις Ῥοδίων. Ἑκαταῖος Ἀσίαι. τὸ ἐθνικὸν Κορυδαλλεῖς.

1a,1,F 247 STEPH. BYZ. s. Λώρυμα· πόλις Καρίας. Ἑκαταῖος Ἀσίαι. ἔστι καὶ λιμὴν Ῥόδου, ὃς Λώρυμα λέγεται.

1a,1,F 248 —s. Κεδρεαί· πόλις Καρίας. Ἑκαταῖος Ἀσίαι. τὸ ἐθνικὸν Κεδρεάτης καὶ Κεδραῖος τρισυλλάβως.

1a,1,F 249 —s. Κράδη· πόλις Καρίας. Ἑκαταῖος Ἀσίας Περιηγήσει.

1a,1,F 250 —s. Κύλλανδος· πόλις Καρίας. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 251 —s. Λάεια· πόλις Καρίας. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 252 —s. Μέσσαβα· πόλις Καρῶν. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 253 —s. Ξύλος· πόλις Καρίας. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 254 —s. Τνύσσος· πόλις Καρίας. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 255 STEPH. BYZ. s. Ξάνθος· πόλις Λυκίας. Ἑκαταῖος Ἀσίαι· « πα ρ ’ ἧι Ξάνθος ἐξίησι ποταμό ς» . ἐκλήθη δὲ ἀπὸ Ξάνθου Αἰγυπτίου ἢ Κρητὸς οἰκιστοῦ. ἔστι καὶ Ξάνθος πόλις ἐν Λέσβωι.

1a,1,F 256 —s. Πάταρα· πόλις Λυκίας. Ἑκαταῖος Ἀσίαι. ἐκλήθη δὲ ἀπὸ Πατάρου τοῦ Ἀπόλλωνος καὶ Λυκίας τῆς Ξάνθου.

1a,1,F 257 —s. Σινδία· πόλις Λυκίας. Ἑκαταῖος Ἀσίαι. τὸ ἐθνικὸν Σίνδιοι.

1a,1,F 258 —s. Φελλός· πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίαι. Ἀλέξανδρος ὁ Πολυίστωρ (III) ἐν τῶι Περὶ Λυκίας Φελλὸν καὶ Ἀντίφελλον Λυκίας εἶναι λέγει.

1a,1,F 259 —s. Μελανίππιον· πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίαι. τινὲς δὲ Λυκίας φασίν.

1a,1,F 260 —s. Ἴδυρος· πόλις καὶ ποταμὸς Παμφυλίας. Ἑκαταῖος. ἢ καὶ Ἰδυρὶς ὀξυτόνως.

1a,1,F 261 —s. Λιρνύτεια· πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 262 —s. Σίδη· πόλις Παμφυλίας, ὡς Ἑκαταῖος Ἀσίαι. κέκληται δὲ ἀπὸ Σίδης τῆς θυγατρὸς μὲν Ταύρου, γυναικὸς δὲ Κιμώλου, ἀφ’ οὗ ἡ νῆσος.

1a,1,F 263 —s. Κορδυτός· πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 264 —s. Κύρβη· πόλις Παμφυλίας. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 265 —s. Χάραδρος· λιμὴν καὶ ἐπίνειον Κιλικίας. Ἑκαταῖος Ἀσίαι· « μετὰ δὲ Χάραδρος ποταμό ς. »

1a,1,F 266 STEPH. BYZ. s. Νάγιδος· πόλις μεταξὺ Κιλικίας καὶ Παμφυλίας. Ἑκαταῖος Ἀσίαι· « μετὰ δὲ Νάγ 〈ιδ〉 ος πόλι ς , ἀπὸ τοῦ Νάγιδος κυβερνήτο υ , καὶ νῆσος Ναγιδοῦσ α. »

1a,1,F 267 Steph. Byz. s. Κώρυκος· πόλις Κιλικίας. Παρθένιος Προπεμπτικῶι (F 21 Martini) ... τὸ ἐθνικὸν Κωρύκιος. Ἑκαταῖος δὲ τὴν πόλιν Κωρύκειάν φησι. s. F 231.

1a,1,F 268 —s. Σόλοι· Κιλικίας πόλις ... Ἑκαταῖος Ἀσίαι. κέκληται δὲ ἀπὸ Σόλωνος, ὡς Εὐφορίων ἐν Ἀλεξάνδρωι (F 1 Scheidweiler) ... Διονύσιος δὲ ἐν γ Βασσαρικῶν Σώλειαν λέγει ...

1a,1,F 269 STEPH. BYZ. s. Καβαλίς· πόλις πλησίον Κιβύρας πρὸς νότον Μαιάνδρου (Strab XIII 4, 15). ἡ γενικὴ Καβαλίδος. ὁ πολίτης Καβαλεύς. Ἑκαταῖος Ἀσίαι. καὶ θηλυκῶς, ὡς Στράβων ἐν τῆι εἰρημένηι (XIII 4, 17)· ‘ἀπόγονοι δὲ Λυδῶν οἱ Κιβυράται τῶν κατασχόντων γῆν τὴν Καβαλίδα.‘

1a,1,F 270 —s. Μύλισιν (?)· ἔθνος Φρυγίας, Ἑκαταῖος Ἀσίαι.

1a,1,F 271 STEPH. BYZ. s. Καμαρηνοί· νῆσοι Ἀραβίων. Ἑκαταῖος ἐν Περιηγήσει.

1a,1,F 272 Herodian. π. μον. λέξ. 8, 8 Χνᾶ· οὕτω γὰρ πρότερον ἡ Φοινίκη ἐκαλεῖτο. s. F 21.

1a,1,F 273 STEPH. BYZ. s. Γάβαλα· πόλις Φοινίκης, ἣν θηλυκῶς Ἑκαταῖός φησι. ὁ δὲ Στράβων (XVI 2, 12) Συρίας πλησίον Λαοδικείας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1a,1,F 274 —s. Σιδών· πόλις Φοινίκης. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 275 —s. Δῶρος· πόλις Φοινίκης. Ἑκαταῖος Ἀσίαι· « μετὰ δὲ ἡ πάλαι Δῶρο ς , νῦν δὲ Δῶρα καλεῖτα ι. »

1a,1,F 276 —s. Αἰγά· τῆς Αἰολίδος ἄκρα ... ἔστι καὶ πόλις Φοινίκων, ὡς Ἑκαταῖος.

1a,1,F 277 —s. Γιγγλυμώτη· Φοινίκης πόλις, ὡς Ἑκαταῖος.

1a,1,F 278 —s. Φοινικοῦσσαι· δύο νῆσοι ἐν τῶι Λιβυκῶι κόλπωι πρὸς τῆι Καρχηδόνι, ὡς Ἑκαταῖος Περιηγήσει Λιβύης (F 342) ... ἔστι καὶ πόλις Φοινίκων τῶν ἐν Συρίαι Φοινικοῦσσαι, ὡς αὐτὸς ἐν Ἀσίαι.

1a,1,F 279 —s. Καρδυτός· ... πόλις Σύρων μεγάλη, ὡς Ἑκαταῖος ἐν Περιηγήσει Ἀσίας.

1a,1,F 280 —s. Κάνυτις· πόλις Συρίων μεγάλη, ὡς Ἑκαταῖος Ἀσίαι.

1a,1,F 281 STEPH. BYZ. s. Κύρη· νῆσος ἐν τῶι Περσικῶι πόντωι. Ἑκαταῖος ἐν Περιηγήσει β . ὁ νησιώτης Κυραῖος.

1a,1,F 282 —s. Παρικάνη· πόλις Περσική. Ἑκαταῖος Ἀσίαι· « ἐν δ ’ αὐτοῖσι πόλις Παρικάνη οὔνομ α. » τὸ ἐθνικὸν Παρικάνιοι. λέγονται καὶ Παρίκανοι.

1a,1,F 283 —s. Χανδανάκη· πόλις Περσική. Ἑκαταῖος Ἀσίας Περιηγήσει. τὸ ἐθνικὸν Χανδανακηνός.

1a,1,F 284 HARPOKR. s. κύπασσις ... οἱ γλωσσογράφοι χιτῶνος εἶδός φασιν αὐτὸν εἶναι τὸν κύπασσιν, οἱ μὲν γυναικείου, οἱ δὲ ἀνδρείου. μέμνηται δ’ αὐτοῦ Ἱππῶνάξ (F 18) τε καὶ Ἑκαταῖος ἐν Περιόδωι Ἀσίας, λέγων· « Κίσσιοι δὲ ἐσθῆτα φορέουσι κυπάσσεις Περσικού ς· » καὶ Ἀριστοφάνης ἐν τοῖς Ταγηνισταῖς (I 524, 519 K.).

1a,1,F 284bis EROTIAN. Lex. Hippocrat. p. 55, 7 Na: κυρβασίην· τὴν λεγομένην τιάραν. Ἑκαταῖος δέ φησιν ὅτι πῖλον βαρβαρικὸν οἱ κωμικοὶ λέγουσιν.

1a,1,F 285 STEPH. BYZ. s. Σιττάκη· πόλις Περσική, ὡς Ἑκαταῖος Ἀσίαι. ὁ πολίτης Σιττακηνός, καὶ ἡ χώρα Σιττακηνή.

1a,1,F 286 —s. Μηδία· χώρα ταῖς Κασπίαις παρακεκλιμένη πύλαις. Ἑκαταῖος Ἀσίαι. ἀπὸ Μήδου υἱοῦ Μηδείας.

1a,1,F 287 —s. Ὑώπη· πόλις Ματιηνῶν, προσεχὴς τοῖς Γορδίοις. Ἑκαταῖος Ἀσίαι· « ἐν δὲ πόλις Ὑώπη · οἱ δ ’ ἄνθρωποι ἐσθῆτα φορέουσιν οἵην περ Παφλαγόνε ς. »

1a,1,F 288 —s. Μόσχοι· Κόλχων ἔθνος, προσεχὲς τοῖς Ματιηνοῖς. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 289 STEPH. BYZ. s. Μύκοι· ἔθνος περὶ οὗ Ἑκαταῖος ἐν Ἀσίαι· « ἐκ Μύκων ἐς Ἀράξην ποταμό ν. »

1a,1,F 290 —s. Καταννοί ()· ἔθνος πρὸς τῆι Κασπίαι θαλάσσηι. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 291 ATHENAI. II 70 A: κινάρα· ταύτην Σοφοκλῆς ἐν Κολχίσι (F 322) κυνάραν καλεῖ, ἐν δὲ Φοίνικι (F 646) ‘κύναρος ἄκανθα πάντα πληθύει γύην‘. Ἑκαταῖος δ’ ὁ Μιλήσιος ἐν Ἀσίας Περιηγήσει ... (T 15a) λέγει οὕτως· « περὶ τὴν Ὑρκανίην θάλασσαν καλεομένην οὔρεα ὑψηλὰ καὶ δασέα ὕλησι ν , ἐπὶ δὲ τοῖσιν οὔρεσιν ἄκανθα κυνάρ α. » (es folgen F 292a; 296)

1a,1,F 292a ATHENAI. II 70 B: καὶ ἑξῆς· « Πάρθων πρὸς ἥλιον ἀνίσχοντα Χοράσμιοι οἰκοῦσι γῆ ν , ἔχοντες καὶ πεδία καὶ οὔρεα · ἐν δὲ τοῖσιν οὔρεσι δένδρεα ἔνι ἄγρι α , ἄκανθα κυνάρ α , ἰτέ α , μυρίκ η. »

1a,1,F 292b STEPH. BYZ. s. Χορασμίη· ... (F 293) αὐτοὶ δὲ Χοράσμιοι, ὡς αὐτός φησι « Πάρθων πρὸς ἥλιον ἀνίσχοντα Χοράσμιοι οἰκέουσ ι. »

1a,1,F 293 STEPH. BYZ. s. Χορασμίη· πόλις πρὸς ἕω Πάρθων. Ἑκαταῖος Ἀσίης Περιηγήσει· « ἐν δ ’ αὐτοῖσι πόλις Χορασμί η. » (es folgt F 292 b).

1a,1,F 294a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

—s. Γανδάραι· Ἰνδῶν ἔθνος. Ἑκαταῖος Ἀσίαι. λέγονται καὶ Γανδάριοι παρ' αὐτῶι καὶ Γανδαρικὴ ἡ χώρα.

1a,1,F 294b —s. Γάνδροι· ἔθνος Πάρθων ἀντιταχθὲν Διονύσωι, ὡς Διονύσιος Βασσαρικῶν δ . Ἑκαταῖος δὲ Γανδάρας αὐτοὺς καλεῖ.

1a,1,F 295 —s. Κασπάπυρος· πόλις Γανδαρική, Σκυθῶν δὲ ἀντίη. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 296 ATHENAI. II 70 B: (F 292a) καὶ περὶ τὸν Ἰνδὸν δέ φησι ποταμὸν γίνεσθαι τὴν κυνάραν.

1a,1,F 297 STEPH. BYZ. s. Ἀργάντη· πόλις Ἰνδίας, ὡς Ἑκαταῖος.

1a,1,F 298 —s. Καλατίαι· γένος Ἰνδικόν. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 299 —s. Ὠπίαι· ἔθνος Ἰνδικόν. Ἑκαταῖος Ἀσίαι « ἐν δ ' αὐτοῖς οἰκέουσιν ἄνθρωποι παρὰ τὸν Ἰνδὸν ποταμὸν Ὠπία ι , ἐν δὲ τεῖχος βασιλήιο ν . μέχρι τούτου Ὠπία ι . ἀπὸ δὲ τούτου ἐρημίη μέχρις Ἰνδῶ ν.»

1a,1,F 300 HERODOT. II 143: Πρότερον δὲ Ἑκαταίωι τῶι λογοποιῶι ἐν Θήβηισι γενεηλογήσαντι ἑωυτὸν καὶ ἀναδήσαντι τὴν πατριὴν ἐς ἑκκαιδέκατον θεὸν (T 4) ἐποίησαν οἱ ἱρέες τοῦ Διὸς οἷόν τι καὶ ἐμοὶ οὐ γενεηλογήσαντι ἐμεωυτόν· ἐσαγαγόντες ἐς τὸ μέγαρον ἔσω ἐὸν μέγα ἐξηρίθμεον δεικνύντες κολοσσοὺς ξυλίνους τοσούτους ὅσους περ εἶπεν· ἀρχιερεὺς γὰρ ἕκαστος αὐτόθι ἱστᾶι ἐπὶ τῆς ἑωυτοῦ ζόης εἰκόνα ἑωυτοῦ· ἀριθμέοντες ὦν καὶ δεικνύντες οἱ ἱρέες ἐμοὶ ἀπεδείκνυσαν παῖδα πατρὸς ἑωυτῶν ἕκαστον ἐόντα, ἐκ τοῦ ἄγχιστα ἀποθανόντος τῆς εἰκόνος διεξιόντες διὰ πασέων, ἐς οὗ ἀπέδεξαν ἁπάσας αὐτάς. Ἑκαταίωι δὲ γενεηλογήσαντι ἑωυτὸν καὶ ἀναδήσαντι ἐς ἑκκαιδέκατον θεὸν ἀντεγενεηλόγησαν ἐπὶ τῆι ἀριθμήσι, οὐ δεκόμενοι παρ' αὐτοῦ ἀπὸ θεοῦ γενέσθαι ἄνθρωπον. ἀντεγενεηλόγησαν δὲ ὧδε, φάμενοι ἕκαστον τῶν κολοσσῶν πίρωμιν ἐκ πιρώμιος γεγονέναι, ἐς ὃ τοὺς πέντε καὶ τεσσεράκοντα καὶ τριηκοσίους ἀπέδεξαν κολοσσούς [πίρωμιν ἐπονομαζόμενον], καὶ οὔτε ἐς θεὸν οὔτε ἐς ἥρωα ἀνέδησαν αὐτούς. (πίρωμις δέ ἐστι κατ' Ἑλλάδα γλῶσσαν καλὸς κἀγαθός). (144) ἤδη ὦν τῶν αἱ εἰκόνες ἦσαν, τοιούτους ἀπεδείκνυσάν σφεας πάντας ἐόντας, θεῶν δὲ πολλὸν ἀπαλλαγμένους. τὸ δὲ πρότερον τῶν ἀνδρῶν τούτων θεοὺς εἶναι τοὺς ἐν Αἰγύπτωι ἄρχοντας οἰκέοντας ἅμα τοῖσι ἀνθρώποισι, καὶ τούτων αἰεὶ ἕνα τὸν κρατέοντα εἶναι· ὕστατον δὲ αὐτῆς βασιλεῦσαι Ὦρον τὸν Ὀσίριος παῖδα, τὸν Ἀπόλλωνα Ἕλληνες ὀνομάζουσι· τοῦτον καταπαύσαντα Τυφῶνα βασιλεῦσαι ὕστατον Αἰγύπτου. (Ὄσιρις δέ ἐστι Διόνυσος κατὰ Ἑλλάδα γλῶσσαν). (145) ἐν Ἕλλησι μέν νυν νεώτατοι τῶν θεῶν νομίζονται εἶναι Ἡρακλέης τε καὶ Διόνυσος καὶ Πάν. παρ' Αἰγυπτίοισι δὲ Πὰν μὲν ἀρχαιότατος καὶ τῶν ὀκτὼ τῶν πρώτων λεγομένων θεῶν, Ἡρακλέης δὲ τῶν δευτέρων τῶν δυώδεκα λεγομένων εἶναι, Διόνυσος δὲ τῶν τρίτων, οἳ ἐκ τῶν δυώδεκα θεῶν ἐγένοντο. Ἡρακλέι μὲν δὴ ὅσα αὐτοὶ Αἰγύπτιοί φασι εἶναι ἔτεα ἐς Ἄμασιν βασιλέα, δεδήλωταί μοι πρόσθε (II 43). Πανὶ δὲ ἔτι τούτων πλέονα λέγεται εἶναι, Διονύσωι δ' ἐλάχιστα τούτων, καὶ τούτωι πεντακισχίλια καὶ μύρια λογίζονται εἶναι ἐς Ἄμασιν βασιλέα. καὶ ταῦτα Αἰγύπτιοι ἀτρεκέως φασὶ ἐπίστασθαι, αἰεί τε λογιζόμενοι καὶ αἰεὶ ἀπογραφόμενοι τὰ ἔτεα.

1a,1,F 301 ARRIAN. anab. V 6, 5: Αἴγυπτόν τε Ἡρόδοτός (II 5) τε καὶ Ἑκαταῖος οἱ λογοποιοί, ἢ εἰ δή του ἄλλου [ἢ Ἑκαταίου] ἐστὶ τὰ ἀμφὶ τῆι γῆι τῆι Αἰγυπτίαι ποιήματα (T 15c), δῶρόν τε τοῦ ποταμοῦ ἀμφότεροι ὡσαύτως ὀνομάζουσιν, καὶ οὐκ ἀμαυροῖς τεκμηρίοις ὅτι ταύτηι ἔχει Ἡροδότωι ἐπιδέδεικται.

1a,1,F 302a DIODOR. I 37, 1: μεγάλης δ' οὔσης ἀπορίας περὶ τῆς τοῦ ποταμοῦ πληρώσεως, ἐπικεχειρήκασι πολλοὶ τῶν τε φιλοσόφων καὶ τῶν ἱστορικῶν ἀποδιδόναι τὰς ταύτης αἰτίας ... (3) οἱ μὲν γὰρ περὶ τὸν Ἑλλάνικον (4 F 173) καὶ Κάδμον (III), ἔτι δ' Ἑκαταῖον καὶ πάντες οἱ τοιοῦτοι, παλαιοὶ παντάπασιν ὄντες, εἰς τὰς μυθώδεις ἀποφάσεις ἀπέκλιναν .... (6) τὰς δὲ πηγὰς τοῦ Νείλου καὶ τὸν τόπον ἐξ οὗ λαμβάνει τὴν ἀρχὴν τοῦ ῥεύματος ἑορακέναι μὲν μέχρι τῶνδε τῶν ἱστοριῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γραφομένων οὐδεὶς εἴρηκεν οὐδ’ ἀκοὴν ἀπεφήνατο παρὰ τῶν ἑορακέναι διαβεβαιουμένων. (7) διὸ καὶ τοῦ πράγματος εἰς ὑπόνοιαν καὶ καταστοχασμὸν πιθανὸν καταντῶντος, οἱ μὲν κατ’ Αἴγυπτον ἱερεῖς ἀπὸ τοῦ περιρρέοντος τὴν οἰκουμένην ὠκεανοῦ φασιν αὐτὸν τὴν σύστασιν λαμβάνειν, ὑγιὲς μὲν οὐδὲν λέγοντες, ἀπορίαι δὲ τὴν ἀπορίαν λύοντες.

1a,1,F 302b HERODOT. II 19: τούτων ὧν πέρι οὐδενὸς οὐδὲν οἷός τε ἐγενόμην παραλαβεῖν [παρὰ] τῶν Αἰγυπτίων, ἱστορέων αὐτοὺς ἥντινα δύναμιν ἔχει ὁ Νεῖλος τὰ ἔμπαλιν πεφυκέναι τῶν ἄλλων ποταμῶν ... (20) ἀλλὰ Ἑλλήνων μέν τινες ἐπίσημοι βουλόμενοι γενέσθαι σοφίην ἔλεξαν περὶ τοῦ ὕδατος τούτου τριφασίας ὁδούς, τῶν τὰς μὲν δύο [τῶν ὁδῶν] οὐδ’ ἀξιῶ μνησθῆναι εἰ μὴ ὅσον σημῆναι βουλόμενος μοῦνον. τῶν ἡ ἑτέρη μὲν λέγει τοὺς ἐτησίας ἀνέμους εἶναι αἰτίους πληθύειν τὸν ποταμόν, κωλύοντας ἐς θάλασσαν ἐκρέειν τὸν Νεῖλον ... (21) ἡ δ’ ἑτέρη ἀνεπιστημονεστέρη μέν ἐστι τῆς λελεγμένης, λόγωι δὲ εἰπεῖν θωμασιωτέρη, ἣ λέγει ἀπὸ τοῦ Ὠκεανοῦ ῥέοντα αὐτὸν ταῦτα μηχανᾶσθαι, τὸν δὲ Ὠκεανὸν γῆν περὶ πᾶσαν ῥέειν ... (23) ὁ δὲ περὶ τοῦ Ὠκεανοῦ λέξας ἐς ἀφανὲς τὸν μῦθον ἀνενείκας οὐκ ἔχει ἔλεγχον· οὐ γάρ τινα ἔγωγε οἶδα ποταμὸν Ὠκεανὸν ἐόντα, Ὅμηρον δὲ ἤ τινα τῶν πρότερον γενομένων ποιητέων δοκέω τοὔνομα εὑρόντα ἐς ποίησιν ἐσενείκασθαι.

1a,1,F 302c SCHOL. APOLL. RHOD. IV 259 (= F 18a): Ἑκαταῖος δὲ ὁ Μιλήσιος ἐκ τοῦ Φάσιδος διελθεῖν (sc. τοὺς Ἀργοναύτας) εἰς τὸν Ὠκεανόν, εἶτα ἐκεῖθεν εἰς τὸν Νεῖλον, ὅθεν εἰς τὴν ἡμετέραν θάλασσαν.

1a,1,F 302bis AËTIOS Plac. 2, 20, 16: Ἡράκλειτος (Vorsokr. 22 [12] A 12) καὶ Ἑκαταῖος ἄναμμα νοερὸν τὸ ἐκ θαλάττης εἶναι τὸν ἥλιον.

1a,1,F 303 STEPH. BYZ. s. Φάκουσα· κώμη μεταξὺ Αἰγύπτου καὶ τῆς Ἐρυθρᾶς θαλάσσης. Στράβων ιζ (1, 26). Ἑκαταῖος δὲ Φάκουσσαι καὶ Φακούσσαις φησί. καὶ Φάκουσαι νῆσοι καὶ Φάκαιοι.

1a,1,F 304 —s. Ἀθάρραβις· πόλις Αἰγύπτου, ὡς Ἡρωιδιανὸς ἐν δ (I 87, 2. II 469, 7 L)· ‘Ἀθαρραβίτης νομὸς ἐν Αἰγύπτωι καὶ Ἀθάρραβις πόλισ‘. Ἑκαταῖος δ’ ἐν β Περιηγήσεως δι’ ἑνὸς ρ καὶ τοῦ μ « Ἀθαραμβίτης νομὸς καὶ Ἀθαράμβη πόλι ς. » τὸ ἐθνικὸν Ἀθαραμβῖται.

1a,1,F 305 —s. Χέμμις· πόλις Αἰγύπτου ... ἔστι καὶ Χέμβις νῆσος διὰ τοῦ β ἐν Βούτοις, ὡς Ἑκαταῖος ἐν Περιηγήσει Αἰγύπτου· « ἐν Βούτοις περὶ τὸ ἱερὸν τῆς Λητοῦς ἔστι νῆσος Χέμβις ὄνομ α , ἱρὴ τοῦ Ἀπόλλωνο ς , ἔστι δὲ ἡ νῆσος μεταρσίη καὶ περιπλεῖ καὶ κινέεται ἐπὶ τοῦ ὕδατο ς. » ὁ νησιώτης Χεμμίτης καὶ Χέμβιος.

1a,1,F 306 —s. Βολβιτίνη· πόλις Αἰγύπτου. Ἑκαταῖος. ὁ πολίτης Βολβιτινίτης. τὸ κτητικὸν Βολβίτινος, ἔνθεν καὶ ‘Βολβίτινον ἅρμα‘.

1a,1,F 307 HERODIAN. π. μον. λέξ. 36, 26 (II 942, 11 L): φάρος ... ἀρσενικόν· οὕτω γὰρ ὁ [ἐπὶ] Μενελάου ἐκαλεῖτο πρωρεύς. ἀλλὰ καὶ τὸ θηλυκὸν ἐπὶ τῆς νήσου ἀπ’ αὐτοῦ τὸ ὄνομα λαβούσης, ὥς φησιν Ἑκαταῖος.

1a,1,F 308 ARISTEID. XXXVI 108 (II 297 K): ὁ τοίνυν Κάνωβος ὄνομά ἐστι Μενελάου κυβερνήτου, ὡς Ἑκαταῖός τε δή φησιν ὁ λογοποιὸς καὶ τὸ κοινὸν τῆς φήμης, οὗ τελευτήσαντος περὶ τὸν τόπον τοῦτον λείπεται τοὔνομα.

1a,1,F 309 STEPH. BYZ. s. Ἑλένειον· τόπος πρὸς τῶι Κανώβωι. Ἑκαταῖος Περιηγήσει Λιβύης. τὸ ἐθνικὸν Ἑλενειεύς.

1a,1,F 310 —s. Ἔφεσος· ... ἔστι καὶ Ἔφεσος νῆσος ἐν τῶι Νείλωι, καὶ Χίος καὶ Λέσβος καὶ Κύπρος καὶ Σάμος καὶ ἄλλαι, ὡς Ἑκαταῖος.

1a,1,F 311 —s. Σῆνος· πόλις Αἰγύπτου. Ἑκαταῖος ἐν αὐτῆς Περιηγήσει. ὁ πολίτης Σηνικός.

1a,1,F 312 —s. Σύις· πόλις Αἰγύπτου, ὡς Ἑκαταῖος ἐν τῆι αὐτῆς Περιηγήσει. καὶ νομὸς Συίτης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1a,1,F 313 —s. Ἄβοτις· πόλις Αἰγυπτία, ὡς Ἑκαταῖος, ἣν Ἡρωδιανός (I 103, 24 L) φησι βαρύνεσθαι. ὁ πολίτης κατὰ μὲν τὸ ἐπιχώριον Ἀβοτίτης ... κατὰ δὲ Ἑκαταῖον Ἀβοτιεύς.

1a,1,F 314 —s. Κράμβουτις· πόλις Αἰγύπτου. Ἑκαταῖος Περιηγήσει Λιβύης. ... Ἡρωδιανὸς (II 537. 17 L) δὲ διὰ τοῦ ο γράφει Κράμβοτις προπαροξυτόνως, ὡς Ἄβοτις.

1a,1,F 315 —s. Κρῶς· πόλις Αἰγύπτου. Ἑκαταῖος Περιηγήσει Ἀσίας. ὁ πολίτης Κρωίτης. καὶ νομὸς Κρωίτης. ἔστι καὶ Κρῶις Ἀράβων πόλις.

1a,1,F 316 —s. Λίηβρις· πόλις Φοινίκων, ὡς Ἡρωδιανός (I 101, 20 L). τὸ ἐθνικὸν Λιηβρίτης ὡς Συβαρίτης. Ἑκαταῖος Περιηγήσει Αἰγύπτου.

1a,1,F 317 —s. Μαγδωλός· πόλις Αἰγύπτου. Ἑκαταῖος Περιηγήσει.

1a,1,F 318 —s. Μύλων· πόλις Αἰγύπτου. Ἑκαταῖος.

1a,1,F 319 —s. Νεῖλος· πόλις Αἰγύπτου. Ἑκαταῖος Περιηγήσει αὐτῆς· « καὶ ἱερὸν Νείλου τοῦ ποταμο ῦ. »

1a,1,F 320 —s. Ὀνείβατις· πόλις Αἰγύπτου. Ἑκαταῖος Περιηγήσει Λιβύης.

1a,1,F 321 —s. Τάβις· πόλις Ἀραβίας. Ἑκαταῖος Περιηγήσει Αἰγύπτου.

1a,1,F 322 ATHENAI. III 114 C: Αἰγύπτιοι δὲ τὸν ὑποξίζοντ’ ἄρτον κυλλᾶστιν καλοῦσιν. μνημονεύει δ’ αὐτοῦ Ἀριστοφάνης Δαναίσι (I 457, 257K) ‘καὶ τὸν κυλλᾶστιν φθέγγου καὶ τὸν Πετόσιριν‘. μνημονεύουσιν αὐτοῦ καὶ Ἑκαταῖος καὶ Ἡρόδοτος (II 77) καὶ Φανόδημος ἐν ζ Ἀτθίδος (III) ὁ δὲ Θυατειρηνὸς Νίκανδρος τὸν ἐκ τῆς κριθῆς ἄρτον γινόμενον ὑπὸ τῶν Αἰγυπτίων κυλλᾶστίν φησι καλεῖσθαι.

1a,1,F 323a —X 447 C: Ἑκαταῖος δ’ ἐν δευτέρωι Περιηγήσεως, εἰπὼν περὶ Αἰγυπτίων ὡς ἀρτοφάγοι εἰσὶν ἐπιφέρει· « τὰς κριθὰς ἐς τὸ πῶμα καταλέουσι ν. »

1a,1,F 323b —X 418 E: Αἰγυπτίους δὲ Ἑκαταῖος ἀρτοφάγους φησὶν εἶναι κυλλήστιας ἐσθίοντας, τὰς δὲ κριθὰς εἰς ποτὸν καταλέοντας.

1a,1,F 324a PORPHYR. bei EUSEB. PE X 3 p. 466 B: καὶ τί ὑμῖν λέγω ὡς τὰ Βαρβαρικὰ Νόμιμα Ἑλλανίκου (4 F 72) ἐκ τῶν Ἡροδότου καὶ Δαμάσ 〈τ〉 ου (5 T 5) συνῆκται; ἢ ὡς Ἡρόδοτος ἐν τῆι δευτέραι πολλὰ Ἑκαταίου τοῦ Μιλησίου κατὰ λέξιν μετήνεγκεν ἐκ τῆς Περιηγήσεως βραχέα παραποιήσας, τὰ τοῦ φοίνικος ὀρνέου (II 73), καὶ περὶ τοῦ ποταμίου ἵππου (II 71), καὶ τῆς θήρας τῶν κροκοδείλων (II 70);

1a,1,F 324b HERODOT. II 70—73 ἄγραι δέ σφεων πολλαὶ κατεστᾶσι καὶ παντοῖαι· ἡ δ’ ὦν ἔμοιγε δοκέει ἀξιωτάτη ἀπηγήσιος εἶναι, ταύτην γράφω. ἐπεὰν νῶτον ὑὸς δελεάσηι περὶ ἄγκιστρον, μετίει ἐς μέσον τὸν ποταμόν, αὐτὸς δὲ ἐπὶ τοῦ χείλεος τοῦ ποταμοῦ ἔχων δέλφακα ζωὴν ταύτην τύπτει. ἐπακούσας δὲ τῆς φωνῆς ὁ κροκόδειλος ἵεται κατὰ τὴν φωνήν, ἐντυχὼν δὲ τῶι νώτωι καταπίνει· οἱ δὲ ἕλκουσι. ἐπεὰν δὲ ἐξελκυσθῆι ἐς γῆν, πρῶτον ἁπάντων ὁ θηρευτὴς πηλῶι κατ’ ὦν ἔπλασε αὐτοῦ τοὺς ὀφθαλμούς· τοῦτο δὲ ποιήσας κάρτα εὐπετέως τὰ λοιπὰ χειροῦται, μὴ δὲ ποιήσας τοῦτο σὺν πόνωι. (71) οἱ δὲ ἵπποι οἱ ποτάμιοι νομῶι μὲν τῶι Παπρημίτηι ἱροί εἰσι, τοῖσι δὲ ἄλλοισι Αἰγυπτίοισι οὐκ ἱροί. φύσιν δὲ παρέχονται ἰδέης τοιήνδε· τετράπουν ἐστὶ δίχηλον, ὁπλαὶ βοός, σιμόν, λοφιὴν ἔχον ἵππου, χαυλιόδοντας φαῖνον, οὐρὴν ἵππου καὶ φωνήν, μέγαθος ὅσον τε βοῦς ὁ μέγιστος. τὸ δέρμα δ’ αὐτοῦ οὕτω δή τι παχύ ἐστι ὥστε αὔου γενομένου ξυστὰ ποιέεσθαι [ἀκόντια] ἐξ αὐτοῦ. (72) γίνονται δὲ καὶ ἐνύδριες ἐν τῶι ποταμῶι, τὰς ἱρὰς ἥγηνται εἶναι. νομίζουσι δὲ καὶ τῶν ἰχθύων τὸν καλεύμενον λεπιδωτὸν ἱρὸν εἶναι καὶ τὴν ἔγχελυν (ἱροὺς δὲ τούτους τοῦ Νείλου φασὶ εἶναι) καὶ τῶν ὀρνίθων τοὺς χηναλώπεκας. (73) ἔστι δὲ καὶ ἄλλος ὄρνις ἱρός, τῶι οὔνομα φοῖνιξ. ἐγὼ μέν μιν οὐκ εἶδον εἰ μὴ ὅσον γραφῆι· καὶ γὰρ δὴ καὶ σπάνιος ἐπιφοιτᾶι σφι δι’ ἐτέων, ὡς Ἡλιοπολῖται λέγουσι, πεντακοσίων, φοιτᾶν δὲ τότε φασὶ ἐπεάν οἱ ἀποθάνηι ὁ πατήρ. ἔστι δέ, εἰ τῆι γραφῆι παρόμοιος, τοσόσδε καὶ τοιόσδε· τὰ μὲν αὐτοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρυσόκομα τῶν πτερῶν, τὰ δὲ ἐρυθρά· ἐς τὰ μάλιστα αἰετῶι περιήγησιν ὁμοιότατος καὶ τὸ μέγαθος. τοῦτον δὲ λέγουσι μηχανᾶσθαι τάδε (ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες)· ἐξ Ἀραβίης ὁρμώμενον ἐς τὸ ἱρὸν τοῦ Ἡλίου κομίζειν τὸν πατέρα ἐν σμύρνηι ἐμπλάσσοντα καὶ θάπτειν ἐν τοῦ Ἡλίου τῶι ἱρῶι. κομίζειν δὲ οὕτω· πρῶτον τῆς σμύρνης ὠιὸν πλάσσειν ὅσον τι δυνατός ἐστι φέρειν, μετὰ δὲ πειρᾶσθαι αὐτὸ φορέοντα, ἐπεὰν δὲ ἀποπειρηθῆι, οὕτω δὴ κοιλήναντα τὸ ὠιὸν τὸν πατέρα ἐς αὐτὸ ἐντιθέναι, σμύρνηι δὲ ἄλληι ἐμπλάσσειν τοῦτο κατ᾽ ὅ τι τοῦ ὠιοῦ ἐκκοιλήνας ἐνέθηκε τὸν πατέρα, ἐγκειμένου δὲ τοῦ πατρὸς γίνεσθαι τωὐτὸ βάρος, ἐμπλάσαντα δὲ κομίζειν μιν ἐπ᾽ Αἰγύπτου ἐς τοῦ Ἡλίου τὸ ἱρόν. ταῦτα μὲν τοῦτον τὸν ὄρνιν λέγουσι ποιέειν.

1a,1,F 325 STEPH. BYZ. s. Μάρμακες· ἔθνος Αἰθιοπικόν. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 326 —s. Ὑσαεῖς· νῆσος μικρὰ καὶ μεγάλη Αἰθιόπων. Ἑκαταῖος Περιηγήσει Αἰγύπτου, οἱ νησιῶται Ὑσαῖται ὡς Ὀασῖται.

1a,1,F 327 —s. Σκιάποδες· ἔθνος Αἰθιοπικόν, ὡς Ἑκαταῖος ἐν Περιηγήσει Αἰγύπτου.

1a,1,F 328a SCHOL. ABT HOM. Il. Γ 6: ἠύτε περ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό, / αἵ τ᾽ ἐπεὶ οὖν χειμῶνα φύγον καὶ ἀθέσφατον ὄμβρον, / κλάγγηι ταί γε πέτονται ἐπ᾽ Ὠκεανοῖο ῥοάων, / ἀνδράσι Πυγμαίοισι φόνον καὶ κῆρα φέρουσαι] καὶ τῶι ξένωι τῆς ἱστορίας ψυχαγωγεῖ καὶ τὸν θροῦν αὔξει· κροτάλοις γὰρ αὐτὰς ἀλέξονται. φησὶ δὲ αὐτοὺς Ἑκαταῖος ἐπὶ σχημάτων κριῶν ἐξιόντας ἀλέξασθαι αὐτάς, τὰς δὲ καταφρονούσας τοῦ μήκους πολεμεῖν πρὸς αὐτούς.

1a,1,F 328b Eustath. Il. Γ 6: ἱστορεῖται δὲ καὶ ὅτι κέρατα παρατίθενται καὶ ἐν σχήμασι κριῶν, ὡς Ἑκαταῖός φησι, κρόταλα ψοφοῦσι, καὶ οὕτω τὰς πυγμαιομάχους γεράνους ἀμύνονται, καταφρονούσας ἄλλως τοῦ μήκους. γεωργικοὶ δέ εἰσιν, ὥς φασιν. ὅτι δὲ καὶ ἀξίνηι ἐχρήσαντο ἐπὶ τὸν ἄσταχυν, γελοῖον μὲν καὶ οὐ πιθανόν, λέγεται δέ.

1a,1,F 329 STEPH. BYZ. s. Κυνόσσημα· τόπος Λιβύης. Ἑκαταῖος Περιηγήσει αὐτῆς. ἔστι καὶ ἄλλο χωρίον.

1a,1,F 330 —s. Αὔσιγδα· πόλις Λιβύης οὐδετέρως ὡς Καλλίμαχος (F 548 Schneid.) Ἑκαταῖος δὲ νῆσον οἶδεν. τὸ ἐθνικὸν Αὐσιγδοι. οὕτω γὰρ Ἀπόλλων τιμᾶται.

1a,1,F 331 —s. Ζήβυττις· πόλις Λιβύης. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 332 —s. Ψύλλοι καὶ Ψυλλικὸς κόλπος· ἐν τῶι Λιβυκῶι κόλπωι. Ἑκαταῖος Περιηγήσει Λιβύης· « ὁ Ψυλλικὸς κόλπος μέγας καὶ βαθύ ς , τριῶν ἡμερῶν πλοῦ ς. »

1a,1,F 333 STEPH. BYZ. s. Μάσκωτος· πόλις Λιβύης. Ἑκαταῖος Περιηγήσει. ἔστι δὲ πλησίον τῶν Ἑσπερίδων.

1a,1,F 334 —s. Μάζυες· οἱ Λιβύης νομάδες. Ἑκαταῖος Περιηγήσει. εἰσὶ δὲ καὶ ἕτεροι Μάξυες καὶ ἕτεροι Μάχλυες.

1a,1,F 335 —s. Μέγασα· ὡς Γέρασα· πόλις Λιβύης. Ἑκαταῖος Περιηγήσει Ἀσίας· « ἐξ αὐτῆς σιτοφάγοι καὶ ἀροτῆρε ς. »

1a,1,F 336 —s. Ζαύηκες· ἔθνος Λιβύης. Ἡρόδοτος δ (193). Ζαύηκες ἔθνος. Ἑκαταῖος ἐν Περιηγήσει Ἀσίας.

1a,1,F 337 —s. Ζυγαντίς· πόλις Λιβύης. Ἑκαταῖος Ἀσίας Περιηγήσει. οἱ πολῖται Ζύγαντες, οἵτινες τὰ ἄνθη συλλέγοντες μέλι ποιοῦσιν, ὥστε μὴ λείπεσθαι τοῦ ὑπὸ τῶν μελισσῶν γινομένου, ὡς Εὔδοξος ὁ Κνίδιος ἐν ς Γῆς Περιόδου (V).

1a,1,F 338a —s. Κανθηλία· πόλις περὶ Καρχηδόνα. Ἑκαταῖος Ἀσίαι. Ἡρωδιανός (I 288, 37 L).

1a,1,F 338b —s. Κανθήλη· πόλις Λιβυφοινίκων. καὶ Ἑκαταῖος οὕτως.

1a,1,F 339 —s. Εὐδείπνη· νῆσος Λιβύης Φοινίκων. Ἑκαταῖος Περιηγήσει Λιβύης.

1a,1,F 340 —s. Ὑβέλη· πόλις περὶ Καρχηδόνα. Ἑκαταῖος Ἀσίαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1a,1,F 341 —s. Γαῦλος· νῆσος πρὸς τῆι Καρχηδόνι. Ἑκαταῖος Περιηγήσει.

1a,1,F 342 —s. Φοινικοῦσσαι· δύο νῆσοι ἐν τῶι Λιβυκῶι κόλπωι πρὸς τῆι Καρχηδόνι, ὡς Ἑκαταῖος Περιηγήσει Λιβύης (folgt F 278).

1a,1,F 343 —s. Κύβος· πόλις Ἰώνων ἐν Λιβύηι Φοινίκων. Ἑκαταῖος Περιηγήσει αὐτῆς· « καὶ λιμὴν που ἄκρη καὶ Κυβ ώ. »

1a,1,F 344 —s. Μεταγώνιον· πόλις Λιβύης. Ἑκαταῖος Ἀσίαι. θηλυκῶς δὲ ταύτην φασί.

1a,1,F 345 —s. Δούλων πόλις· πόλις Λιβύης. Ἑκαταῖος ἐν Περιηγήσει ** καὶ ἐὰν δοῦλος εἰς τὴν πόλιν ταύτην λίθον προσενέγκηι, ἐλεύθερος γίνεται, κἂν ξένος ἦι. ἔστι καὶ ἑτέρα Ἱεροδούλων, ἐν ἧι εἷς μόνος ἐλεύθερός ἐστι. φασὶ καὶ κατὰ Κρήτην Δουλόπολιν εἶναι χιλίανδρον ... ἔστι καὶ χωρίον ἐν Αἰγύπτωι Δουλόπολις, ὥς φησιν Ὀλυμπιανός.

1a,1,F 346 —s. Ἰαγξούατις· πόλις Λιβύων. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 347 —s. Ἱεράφη· ... νῆσος Λιβύης. Ἑκαταῖος Περιηγήσει.

1a,1,F 348 STEPH. BYZ. s. Καλαμένθη, ἥτις καὶ Καλαμίνθη· πόλις Λιβύης. Ἑκαταῖος Περιηγήσει. κρεῖττον οὖν ὡς Ἡρωδιανὸς (II 529, 3 L) διὰ τοῦι · πόλις Φοινίκων.

1a,1,F 349 —s. Κρεμμύων· ... ἐστὶ καὶ Κρομμύων πόλις Λιβύης διὰ τοῦ ο , ὡς Ἑκαταῖος.

1a,1,F 350 —s. Μῶλυς· Λίβυσσα πόλις. Ἑκαταῖος Περιηγήσει Λιβύης.

1a,1,F 351 —s. Στοῖαι· πόλις Λιβύης, ὡς Ἑκαταῖος Περιηγήσει αὐτῆς.

1a,1,F 352 —s. Στρώη· πόλις Λιβύης, ὡς Ἑκαταῖος Ἀσίας Περιηγήσει. τὸ ἐθνικὸν Στρωαῖος ἢ Στρωίτης.

1a,1,F 353 —s. Φασηλοῦσσαι· νῆσοι δύο Λιβύης πλησίον Σίριος ποταμοῦ. Ἑκαταῖος Περιηγήσει Λιβύης.

1a,1,F 354 —s. Θίγγη· πόλις Λιβύης. Ἑκαταῖος Περιηγήσει. τὸ ἐθνικὸν Θίγγιος.

1a,1,F 355 HERODIAN. π. μον. λέξ. 31, 24 (II 937, 9 L): Δούριζα λίμνη παρὰ τὸν Λίζαν ποταμόν. Ἑκαταῖος Περιηγήσει Ἀσίας· « τῆι δὲ λίμνηι Δούριζα ὄνομ α. »

1a,1,F 356 STEPH. BYZ. s. Θρίγκη· πόλις περὶ τὰς Στήλας. Ἑκαταῖος Ἀσίαι.

1a,1,F 357 —s. Μέλισσα· πόλις Λιβύων. Ἑκαταῖος Ἀσίαι. ὁ οἰκήτωρ Μελισσαῖος, ἡ χώρα Μελισσαία.

1a,1,F 358 ATHENAI. IX 410 E: Σαπφὼ (F 44 Bgk 4 ) ... κόσμον λέγει κεφαλῆς τὰ χειρόμακτρα, ὡς καὶ Ἑκαταῖος δηλοῖ ἢ ὁ γεγραφὼς τὰς περιηγήσεις ἐν τῆι Ἀσίαι ἐπιγραφομένηι· « γυναῖκες δ ’ ἐπὶ τῆς κεφαλῆς ἔχουσι χειρόμακτρ α. »

1a,1,F 359 STEPH. BYZ. s. Εὐέλγεια· πόλις ** Ἑκαταῖος Περιηγήσει. ὁ πολίτης Εὐελγεύς.

1a,1,F 360 APOLLON. DYSC. De pron. p. 92, 20 Schn.: αἱ πληθυντικαὶ εἰ καὶ κοινολεκτοῦνται κατ’ εὐθεῖαν πρός τε Ἰώνων καὶ Ἀττικῶν ἡμεῖς ὑμεῖς σφεῖς, ἔστιν πιστώσασθαι καὶ τὸ ἀδιαίρετον τῆς εὐθείας παρ’ Ἴωσιν ἐκ τῶν περὶ Δημόκριτον, Φερεκύδην, Ἑκαταῖον.

1a,1,F 361 EPIM. HOM. CRAM. AN. OX. I 207, 18: παρὰ τὸ ἔω τὸ παράγωγον ἐμί, τὸ πληθυντικὸν ἐμέν· ‘γρῆες ἐμέν‘ ὁ Κυρηναῖος Καλλίμαχος (F 294 Schneid.), ἀντὶ τοῦ εἰμέν. τοῦ ἐμέν τὸ προστακτικὸν ἔθι, καὶ πλεονασμῶι τοῦ ς ἔσθι. Ἑκαταῖος· « ἐνθάδι ἔσθ ι. » ὅπερ οἱ Ἀττικοὶ ἴσθι κατὰ τροπήν, ὥσπερ τὸ ἔσχω ἴσχε.

1a,1,F 362 ETYM. GEN. s. γέγειος (Reitzenstein Ind. Lect. Rostock. 1890/91 p. 13. ET. M. p. 223, 33): ὁ ἀρχαῖος, καὶ γέγειαι. εἴρηται παρὰ Ἑκαταίωι καὶ Καλλιμάχωι (F 252 Schneid. 124 Kapp).

1a,1,F 363 —s. μέτασσαι (Miller Mélanges 215. ET. M. p. 596, 32)· ἡγοῦντο πάντες τοῦτο εἶναι μεσαίταται, αἱ μεταξύ, καὶ ἐν ὑπερθέσει μέτασσαι ... δύναται δὲ καὶ οὕτως ἐπίσσας λέγεσθαι Ἰωνικῶς. παρ’ Ἑκαταίωι ἐστὶν « ἔπισσα ι » αἱ ἐπιγινόμεναι τοῖς προγόνοις.

1a,1,F 364

HERODIAN. π. μον. λέξ. p. 3o, 18 (II 936, 7 L): οὐδὲν οὐδέτερον εἰς ας λῆγον καθαρὸν τῶι ε παραλήγει κατὰ τὴν ἑνικὴν εὐθεῖαν ἐν χρήσει Ἑλλήνων, ἀλλὰ μόνον τὸ κρέας. ... προσέθηκα δὲ κατὰ τὴν ἑνικὴν εὐθεῖαν ἐν χρήσει Ἑλλήνων, ἐπεὶ παρὰ Ἑκαταίωι ἐστὶ τὰ « δέατα περιτεταμένο ι. »

1a,1,F 365 HESYCH. s. ὑπ' αὐνήν· παρ' Ἑκαταίωι. Φιλητᾶς.

1a,1,F 366 PHRYNICH. 193 p. 295 Rutherf.: σκορπίζεται· Ἑκαταῖος μὲν τοῦτο λέγει Ἴων ὤν, ὁ Ἀττικὸς δὲ σκεδάννυται φησί.

1a,1,F 367 POLLUX I 50: ἑδραῖοι τεχνῖται· τὸ γὰρ « χειρογάστορε ς » Ἑκαταῖος λεγέτω, καὶ τὸ χειρώνακτες Ἡροδότωι (I 93. II 141) δεδόσθω.

1a,1,F 368 SCHOL. T HOM. Il. Ω 228: ἦ, καὶ φωριαμῶν ἐπιθήματα κάλ' ἀνέωιγεν] φωριαμός· ἔχει γὰρ ἃ φοροῦμεν. οἱ δὲ παρὰ τὰ φάρη ἢ τοὺς φῶρας. Ἀρίσταρχος δέ φησι τὴν κιβωτόν λέξιν νεωτέραν εἶναι. ἀγνοεῖ δέ, ὅτι καὶ Σιμωνίδης (F 239 Bgk 4 ) καὶ Ἑκαταῖος μέμνηται αὐτῆς.

1a,1,F 368bis SCHOL. EUST. HOM. Od. β 190: Ἑκαταῖος δέ «οἱ Βιαντίδαι ἄνδρες σπουδαιέστατοι ἐγένοντ ο »

1a,1,F 369 SUIDAS s. μοιχίδιον· τὸν ἐκ μοιχοῦ γεγεννημένον. οὐχ ὅτι Ἑκαταῖος, ἀλλὰ καὶ Ὑπερείδης (F 42 Bl.—Jensen).

1a,1,F 370 PLIN. NH IV 94: ... septentrionalis Oceanus. Amalcium eum Hecataeus appellat a Parapaniso amne, qua Scythiam alluit, quod nomen eius gentis lingua significat congelatum.

1a,1,F 371 Schol. Lucan III 402 p. 110, 25 Us.: Panes] Pindarus (F 100 Schroed.) et Hecataeus (?) dicunt Apollinis et Penelopae filium, alii Mercurii et eiusdem ... Euforio (F 128 Scheidw.) Ulixis filium manifestat. nonnulli quidem sine origine hunc deum tradiderunt, sicut Apollodorus (II). de hoc Sergius commentator Vergilii (buc. II 31) sic ait ...

1a,1,F 372 Steph. Byz. s. Ἄμυρος· πόλις Θεσσαλίας. ἀπὸ ἑνὸς τῶν Ἀργοναυτῶν. ἡ πόλις θηλυκῶς. ἄδηλον δὲ τὸ Ἡσιόδειον (F 122 Rz 2 ) 'Δωτίωι ἐν πεδίωι πολυβότρυος ἀντ' Ἀμύροιο'. τὸ ἐθνικὸν Ἀμυρεύς ... Εὔπολις (I 360, 392 K.) δὲ Ἀμύρους αὐτοὺς λέγει, πλησιοχώρους τῆς Μολοττίας. ἐκ τούτου καὶ Ἀμυραῖοι λέγονται. Σουίδας (III). 〈Ἑκαταῖοσ〉 δ' ἐν ταῖς Γενεαλογίαις, ὅτι οὗτοι ἐκαλοῦντο Ἐορδοί, ὕστερον δὲ Λέλεγες. οἱ αὐτοὶ καὶ Κένταυροι καὶ Ἱπποκένταυροι. καὶ τὴν πόλιν Ἀμυρικὴν καλεῖ.

1a,1,F 373 Diodor. XL 3, 8 (PHOT. Bibl. 244 p. 381a 7): ... περὶ μὲν τῶν Ἰουδαίων Ἑκαταῖος ὁ Μιλήσιος ταῦτα ἱστόρηκεν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org